εἰπεῖν ἐπὶ τοῖς τοιούτοις, κἂν εἰ μή τισιν οἰκεῖον ὄνομα εἴη,
τὸ κέρδος, οἷον τῷ πατάξαντι, καὶ ἡ ζημία τῷ παθόντι·
ἀλλ' ὅταν γε μετρηθῇ τὸ πάθος, καλεῖται τὸ μὲν ζημία 6
τὸ δὲ κέρδος. ὥστε τοῦ μὲν πλείονος καὶ ἐλάττονος τὸ ἴσον
μέσον, τὸ δὲ κέρδος καὶ ἡ ζημία τὸ μὲν πλέον τὸ δ' ἔλατ-
τον ἐναντίως, τὸ μὲν τοῦ ἀγαθοῦ πλέον τοῦ κακοῦ δ' ἔλαττον

---

27. πρότερον K^b: προτέρου vulg. 28. δίκαιον om. K^b 31. εἰς ἄλληλα προσενεχθέντα K^b 32. τὸ ante παρὰ om. L^b M^b 1132ᵃ 6. ἔβλαψεν K^b: ὁ μὲν ἔβλαψεν L^b M^b

tercih edilecek olan da iyidir ve daha çok tercih edilecek olan daha büyük iyidir. İşte adaletin bir türü budur.

Adaletin geri kalan türü, gerek isteyerek gerek istemeyerek olan alışverişlerde görülen düzeltici adalettir. Bu adalet türü öncekinden başkadır. Çünkü ortak şeyleri paylaştırmadaki adalet hep sözünü ettiğimiz oranlamaya göredir; nitekim paylaştırma ortak mallarda olursa, katkıda bulunanların biribirlerine oranları ne ise aynı oranda olacaktır; bu adaletin karşısında olan adaletsizlik de bu orana aykırı olacaktır. Alışverişlerdeki adalet ise belli bir eşitliktir, haksızlık ise bir eşitsizliktir, ama o [geometrik] oranlamaya göre değil, aritmetik oranlamaya göredir. Nitekim doğru bir kişinin kötü birini ya da kötü birinin doğru birini dolandırması ve doğru birinin ya da kötü birinin zina yapması arasında hiç fark yoktur; yasa yalnızca zararın farkına bakar ve onlara eşit muamele yapar: Yani birinin haksızlık yapıp yapmadığına, ötekinin haksızlığa uğrayıp uğramadığına ve birinin zarar verip vermediğine, ötekinin zarar görüp görmediğine bakar. Dolayısıyla yargıç eşitsizlik olan bu adaletsizliği denkleştirmeye çalışır; çünkü biri dövülüp öteki dövünce ya da biri öldürüp öteki öldürülünce, yapılan ile maruz kalınan eşit olmayan bir bölümleme olarak görünür; buna karşılık yargıç, cezayla kazancı azaltarak bunları düzeltmeye çalışır. Böyle durumlara ilişkin 'kazanç' sözcüğü genel anlamda kullanılıyor, bunlara çok uygun bir ad olmasa bile: Örneğin 'kazanç' sözcüğünün dövenle ilgili olarak, 'zarar' sözcüğünün de dövülenle ilgili olarak kullanılması gibi; yine de maruz kalınan şey ölçüldüğü zaman, zarardan ve dolayısıyla da kazançdan sözedilir: Demek ki, daha çok ile daha azın eşitleştirilmesi orta olandır, kazanç ve zarar ise karşıt anlamda daha çok ve daha azdırlar: İyinin daha çoğu, kötünün daha azı kazanç,

κέρδος, τὸ δ' ἐναντίον ζημία· ὧν ἦν μέσον τὸ ἴσον, ὃ λέγομεν εἶναι δίκαιον· ὥστε τὸ ἐπανορθωτικὸν δίκαιον ἂν εἴη
7 τὸ μέσον ζημίας καὶ κέρδους. διὸ καὶ ὅταν ἀμφισβητῶσιν, ἐπὶ τὸν δικαστὴν καταφεύγουσιν· τὸ δ' ἐπὶ τὸν δικαστὴν λέναι λέναι ἐστὶν ἐπὶ τὸ δίκαιον· ὁ γὰρ δικαστὴς βούλεται εἶναι οἷον δίκαιον ἔμψυχον· καὶ ζητοῦσι δικαστὴν μέσον, καὶ καλοῦσιν ἔνιοι μεσιδίους, ὡς ἐὰν τοῦ μέσου τύχωσι, τοῦ δικαίου τευξόμενοι. μέσον ἄρα τι τὸ δίκαιον, εἴπερ καὶ ὁ δικαστής. ὁ δὲ δικαστὴς ἐπανισοῖ, καὶ ὥσπερ γραμμῆς εἰς ἄνισα τετμημένης, ᾧ τὸ μεῖζον τμῆμα τῆς ἡμισείας ὑπερέχει, τοῦτ' ἀφεῖλε καὶ τῷ ἐλάττονι τμήματι προσέθηκεν. ὅταν δὲ δίχα διαιρεθῇ τὸ ὅλον, τότε φασὶν ἔχειν τὸ αὑτοῦ ὅταν
9 λάβωσι τὸ ἴσον. τὸ δ' ἴσον μέσον ἐστὶ τῆς μείζονος καὶ ἐλάττονος κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. διὰ τοῦτο καὶ ὀνομάζεται δίκαιον, ὅτι δίχα ἐστίν, ὥσπερ ἂν εἴ τις εἴποι
10 δίχαιον, καὶ ὁ δικαστὴς διχαστής. ἐπὰν γὰρ δύο ἴσων ἀφαιρεθῇ ἀπὸ θατέρου, πρὸς θάτερον δὲ προστεθῇ, δυσὶ τούτοις ὑπερέχει θάτερον· εἰ γὰρ ἀφῃρέθη μέν, μὴ προσετέθη δέ, ἐνὶ ἂν μόνον ὑπερεῖχεν. τοῦ μέσου ἄρα ἑνί, καὶ τὸ μέσον, 1132 b
11 ἀφ' οὗ ἀφῃρέθη, ἑνί. τούτῳ ἄρα γνωριοῦμεν τί τε ἀφελεῖν δεῖ ἀπὸ τοῦ πλέον ἔχοντος, καὶ τί προσθεῖναι τῷ ἔλαττον ἔχοντι· ᾧ μὲν γὰρ τὸ μέσον ὑπερέχει, τοῦτο προσθεῖναι δεῖ τῷ ἔλαττον ἔχοντι, ᾧ δ' ὑπερέχεται, ἀφελεῖν ἀπὸ τοῦ
12 μεγίστου. ἴσαι αἱ ἐφ' ὧν αα ββ γγ ἀλλήλαις· ἀπὸ τῆς αα ἀφῃρήσθω τὸ αε, καὶ προσκείσθω τῇ γγ τὸ ἐφ' ᾧ γδ, ὥστε ὅλη ἡ δγγ τῆς εα ὑπερέχει τῷ γδ καὶ τῷ γζ· τῆς ἄρα ββ τῷ γδ. [ἔστι δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν·

---

27. καὶ et προσέθηκεν om. K^b 28. τὰ αὑτῶν Coraes 31. εἰ om. K^b 1132^b 2. ⟨τοῦ⟩ ἀφ' οὗ coni. Zell τε om. K 7. ἀφῃρῆσθαι—προσκεῖται K^u ᾧ O^b: ὧν vulg. 9. ἔστι—11. τοιοῦτον om. Muretus

bunun tersi ise zarardır. Dediğimiz gibi bunların ortası eşit olandır, hakkın da bu olduğunu söylüyoruz. Dolayısıyla düzeltici adalet kâr ile zararın ortasıdır. Bunun için anlaşmazlık olduğu zaman yargıca başvurulur; yargıca gitmek de adalete gitmektir; nitekim yargıç canlı adalet gibi olmak ister; gerçekten de orta olan yargıç aranır; kimileri de ona 'ortacı' derler: Ortaya isabet ederse hakka da isabet eder diye.O halde adalet, yargıcın da olduğu gibi, orta olan bir şeydir. Yargıç eşitleştirir ve eşit kesilmemiş bir çizgide olduğu gibi, ortadan daha büyük olan parçayı kesip daha küçük parçaya ekler. Bütün ikiye ayrılınca, o zaman eşit olanı aldıklarında "[hakkımı] aldım" derler. Eşit ise daha büyük ve daha küçüğün aritmetik oranlamaya göre ortasıdır. Bunun için ona *dikaion* denir: *'dikha'*dır [ortadan ikiye bölünmüştür] diye nerdeyse ona *'dikhaion'*, *'dikastes'*e [yargıca] de *'dikhastes'* [ikiye bölen] denecekmiş[44]. Nitekim iki eşit parçanın birinden bir kısım alınıp ikincisine eklenince, ikincisi, kendisine eklenen kısmın iki misli büyük olur birinciye göre; oysa alınan kısım ona eklenmeseydi, yalnızca alınan kısım kadar daha büyük olacaktı: Böylece ikinci parça [eklenen] bu kısım kadar ortadan daha büyük, orta ise bu kısmın alındığı parçadan bu kısım kadar daha büyük olacaktır. İşte bu şekilde daha fazla sahip olandan neyi almamız, daha az sahip olana da neyi eklememiz gerektiğini öğreneceğiz; yani ortanın aşılmasına neden olan kısmı daha az sahip olana eklemek, ortayı aşan kısmı da daha büyük olandan almak gerek: aa', bb' ve cc' çizgileri biribirine eşit olsun: aa' çizgisinden ae parçası alınsın ve cc' ye cd kısmı olarak eklensin; o takdirde dcc' çizgisinin tümü ea' çizgisini cd ve cf çizgileri olarak aşacaktır, dolayısıyla bb' ve cd çizgilerini de aşacaktır[45]. [Bu, öteki sanatlarda da sözkonusudur.

ἀνῃροῦντο γὰρ ἄν, εἰ μὴ ἐποίει τὸ ποιοῦν καὶ ὅσον καὶ οἷον, καὶ τὸ πάσχον ἔπασχε τοῦτο καὶ τοσοῦτον καὶ τοιοῦτον.] ἐλή- 13
λυθε δὲ τὰ ὀνόματα ταῦτα, ἥ τε ζημία καὶ τὸ κέρδος, ἐκ τῆς ἑκουσίου ἀλλαγῆς· τὸ μὲν γὰρ πλέον ἔχειν ἢ τὰ αὑτοῦ κερδαίνειν λέγεται, τὸ δ' ἔλαττον τῶν ἐξ ἀρχῆς ζημιοῦσθαι, οἷον ἐν τῷ ὠνεῖσθαι καὶ πωλεῖν καὶ ἐν ὅσοις ἄλλοις ἄδειαν δέδωκεν ὁ νόμος· ὅταν δὲ μήτε πλέον μήτ' ἔλαττον ἀλλ' 14
αὐτὰ ⟨τὰ⟩ δι' αὐτῶν γένηται, τὰ αὐτῶν φασὶν ἔχειν καὶ οὔτε ζημιοῦσθαι οὔτε κερδαίνειν. ὥστε κέρδους τινὸς καὶ ζημίας μέσον τὸ δίκαιόν ἐστι τῶν παρὰ τὸ ἑκούσιον, τὸ ἴσον ἔχειν καὶ πρότερον καὶ ὕστερον.

8 Δοκεῖ δέ τισι καὶ τὸ ἀντιπεπονθὸς εἶναι ἁπλῶς δίκαιον, V.
ὥσπερ οἱ Πυθαγόρειοι ἔφασαν· ὡρίζοντο γὰρ ἁπλῶς τὸ δίκαιον τὸ ἀντιπεπονθὸς ἄλλῳ. τὸ δ' ἀντιπεπονθὸς οὐκ ἐφαρ- 2
μόττει οὔτ' ἐπὶ τὸ νεμητικὸν δίκαιον οὔτ' ἐπὶ τὸ διορθωτικόν—καίτοι βούλονταί γε τοῦτο λέγειν καὶ τὸ Ῥαδαμάνθυος 3
δίκαιον·

εἴ κε πάθοι τά τ' ἔμεξε, δίκη κ' ἰθεῖα γένοιτο

—πολλαχοῦ γὰρ διαφωνεῖ· οἷον εἰ ἀρχὴν ἔχων ἐπάταξεν, οὐ 4
δεῖ ἀντιπληγῆναι, καὶ εἰ ἄρχοντα ἐπάταξεν, οὐ πληγῆναι μόνον δεῖ ἀλλὰ καὶ κολασθῆναι. ἔτι τὸ ἑκούσιον καὶ τὸ 5
ἀκούσιον διαφέρει πολύ. ἀλλ' ἐν μὲν ταῖς κοινωνίαις ταῖς 6
ἀλλακτικαῖς συνέχει τὸ τοιοῦτον δίκαιον, τὸ ἀντιπεπονθὸς κατ' ἀναλογίαν καὶ μὴ κατ' ἰσότητα. τῷ ἀντιποιεῖν γὰρ ἀνάλογον συμμένει ἡ πόλις. ἢ γὰρ τὸ κακῶς ζητοῦσιν· εἰ
1133ᵃ δὲ μή, δουλεία δοκεῖ εἶναι [εἰ μὴ ἀντιποιήσει]· ἢ τὸ εὖ· εἰ

---

15. ὅσοις] τοῖς K^b 16. ἔδωκεν L^b M^b 17. τὰ add. Rassow αὐτῶν] αὑτῶν Γ (ut videtur) 19. τῶν] τῷι pr. K^b 20. καὶ ante πρότερον om. K^b 23. ἄλλῳ om. L^b M^b 24. διανεμητικὸν M^b 27. τ' Coraes : κ' codd. 30. καὶ post ἀλλὰ om. K^b 1133ᵃ 1. εἰ μὴ ἀντιποιήσει seclus. Muretus

Nitekim eğer yapan yaptığı kadarını ve yaptığı gibi yapmasaydı, maruz kalan da o kadar ve o şekilde maruz kalmasaydı, sanatlar ortadan kalkardı.][46] Zarar ve kazanç ifadeleri isteyerek yapılan alışverişlerden geliyor; nitekim alım ve satımlarda ya da yasanın izin verdiği diğer alışverişlerde hak ettiğinden daha fazlasına sahip olmaya kazanmak, hak ettiğinden daha azına sahip olmaya da zarar etmek denir; daha fazlasını ya da daha azını değil, verdikleri kadar alıyorlarsa, hak ettiklerine sahip oldukları söylenir ve ne zarar ederler ne de kazanırlar. Öyleyse, adalet, isteğe aykırı yapılan [alışverişlerde] bir çeşit kazançtır ve zararın ortasıdır: [alışverişlerden] önce de sonra da eşit olana sahip olmaktır.

Kimileri karşılığını almanın kendi başına adalet olduğunu düşünür, Pythagorasçıların dediği gibi[47]; nitekim onlar adaleti başkasına yaptığının aynısıyla karşılığını alma diye tanımlarlar. Oysa aynı karşılığı alma ne paylaştırıcı ne de düzeltici adalete uygun düşer —her ne kadar 'Rhadamanthys'in adaleti' derken bunu demek istiyorlarsa da:

Eğer kişinin yaptığı başına gelirse,
hak doğrudan doğruya yerine gelmiş olur.

Çünkü bu, birçok yerde aykırı düşüyor: Örneğin başta olan biri birini döverse, onun dövülmesi gerekmez; buna karşın biri ileri gelenlerden birini döverse, yalnız dövülmesi değil, cezalandırılması da gerekir. Ayrıca istenerek ve istenmeyerek yapılanlar arasında da çok fark vardır. Değiş-tokuş amaçlı biraraya gelmelerde, biraraya gelenler arasındaki bağ bu tür adaleti oluşturuyor; karşılık, eşitliğe göre değil, oranlamaya göre alınıp verilir. Nitekim orantılı karşılık vermelerle kent ayakta durur. Nitekim insanlar karşılık vermek isterler: Ya kötüye kötüyle (eğer karşılık vermezlerse, bunun kölelik olduğunu düşünürler) ya da iyiye iyiyle; 1133a

δὲ μή, μετάδοσις οὐ γίνεται, τῇ μεταδόσει δὲ συμμένουσιν.
7 διὸ καὶ Χαρίτων ἱερὸν ἐμποδὼν ποιοῦνται, ἵν' ἀνταπόδοσις
ᾖ· τοῦτο γὰρ ἴδιον χάριτος· ἀνθυπηρετῆσαι γὰρ δεῖ τῷ
8 χαρισαμένῳ, καὶ πάλιν αὐτὸν ἄρξαι χαριζόμενον. ποιεῖ δὲ
τὴν ἀντίδοσιν τὴν κατ' ἀναλογίαν ἡ κατὰ διάμετρον σύ-
ζευξις. οἰκοδόμος ἐφ' ᾧ α, σκυτοτόμος ἐφ' ᾧ β, οἰκία
ἐφ' ᾧ γ, ὑπόδημα ἐφ' ᾧ δ. δεῖ οὖν λαμβάνειν τὸν οἰκο-
δόμον παρὰ τοῦ σκυτοτόμου τὸ ἐκείνου ἔργον, καὶ αὐτὸν
ἐκείνῳ μεταδιδόναι τὸ αὑτοῦ. ἐὰν οὖν πρῶτον ᾖ τὸ κατὰ τὴν
ἀναλογίαν ἴσον, εἶτα τὸ ἀντιπεπονθὸς γένηται, ἔσται τὸ λεγό-
μενον. εἰ δὲ μή, οὐκ ἴσον, οὐδὲ συμμένει· οὐθὲν γὰρ κωλύει
κρεῖττον εἶναι τὸ θατέρου ἔργον ἢ τὸ θατέρου· δεῖ οὖν ταῦτα
9 ἰσασθῆναι. ἔστι δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν· ἀνῃροῦντο
γὰρ ἄν, εἰ μὴ ⟨ὁ⟩ ἐποίει τὸ ποιοῦν καὶ ὅσον καὶ οἷον, καὶ τὸ
πάσχον ἔπασχε τοῦτο καὶ τοσοῦτον καὶ τοιοῦτον. οὐ γὰρ ἐκ
δύο ἰατρῶν γίνεται κοινωνία, ἀλλ' ἐξ ἰατροῦ καὶ γεωργοῦ,
καὶ ὅλως ἑτέρων καὶ οὐκ ἴσων· ἀλλὰ τούτους δεῖ ἰσασθῆναι.
10 διὸ πάντα συμβλητὰ δεῖ πως εἶναι, ὧν ἐστὶν ἀλλαγή. ἐφ'
ὃ τὸ νόμισμ' ἐλήλυθε, καὶ γίνεταί πως μέσον· πάντα γὰρ
μετρεῖ, ὥστε καὶ τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν, πόσα
ἄττα δὴ ὑποδήματ' ἴσον οἰκίᾳ ἢ τροφῇ. δεῖ τοίνυν ὅπερ
οἰκοδόμος πρὸς σκυτοτόμον, τοσαδὶ ὑποδήματα πρὸς οἰκίαν ἢ
τροφήν. εἰ γὰρ μὴ τοῦτο, οὐκ ἔσται ἀλλαγὴ οὐδὲ κοινωνία.
11 τοῦτο δ', εἰ μὴ ἴσα εἴη πως, οὐκ ἔσται. δεῖ ἄρα ἑνί τινι πάντα
μετρεῖσθαι, ὥσπερ ἐλέχθη πρότερον. τοῦτο δ' ἐστὶ τῇ μὲν
ἀληθείᾳ ἡ χρεία, ἢ πάντα συνέχει· εἰ γὰρ μηθὲν δέοιντο

---

4. post ἀνθυπηρετῆσαι add. τε L^b 7. οἰκοδόμος K^b: οἷον οἰκοδόμος vulg. 9. τὸ ἐκείνου ἔργον M^b Γ: τοῦ ἐκείνου ἔργου vulg. 10. τὸ αὐτοῦ Turnebus (et ut videtur Γ): τοῦ αὐτοῦ (vel αὑτοῦ) codd. 15. ὁ add. Berg 19. ταῦτα pr. K^b 20. ᾧ L^b M^b 22. ἄττα om. K^b 26. δ' ἐστὶ] δὲ ὅτι K^b 27. ἡ om. pr. K^b

yoksa biribirine bir şeyler alıp verme diye bir şey olmaz, oysa insanlar biribirlerine bir şeyler alıp verme sayesinde birarada bulunuyorlar. Bunun için orta yerde Kharis'lerin tapınağını[48] kuruyorlar, karşılık verme olsun diye. Çünkü bu, hatırın özelliğidir: İyiliğini gördüğü kişiye hatır-gönül borcunu ödemesi, kendi parasıyla böyle bir iyilik yapmada ilk olması gerekir. Oranlamaya göre karşılık vermeyi köşegenlemesine bağlantı kurma sağlar: Örneğin a bir mimar, b bir ayakkabıcı, c bir ev, d ise bir ayakkabı olsun. O zaman mimarın ayakkabıcıdan onun yaptığını alması, ona da kendininkini vermesi gerekir. Şimdi eğer ilkin oranlamaya göre eşit olan bu alışveriş yapılırsa, sonra da buna karşılık verilirse, o zaman söylediğimiz olur. Yoksa eşitlik sağlanmaz, ilişkileri de devam etmez; birinin yaptığının ötekininkinden daha iyi olmasına hiçbir engel yok; dolayısıyla bunları eşitlemek gerekir. Bu başka birçok sanatta da sözkonusudur; çünkü eğer yapan yaptığı kadarını ve yaptığı gibi yapmasaydı, maruz kalan da o kadar ve o şekilde maruz kalmasaydı,sanatlar ortadan kalkardı. Nitekim iki doktor biraraya gelmez, bir doktor ile bir çiftçi, ya da tamamen farklı ve eşit olmayanlar biraraya gelir; ama bunların eşitlenmesi gerekir. Bunun için değiş-tokuşu yapılan her şeyin belli bir şekilde karşılaştırılabilir olması gerekir. Para da bu yüzden ortaya çıkmıştır ve o bir anlamda ortayı buluyor [aracı oluyor]; çünkü her şeyi ölçer, dolayısıyla aşırılığı ve eksikliği de ölçer, yani bir eve ya da besin maddesine kaç ayakkabının eşit olduğunu ölçer. Demek ki mimar ile ayakkabıcı arasında nasıl bir ilgi varsa, şu kadar ayakkabı ile bir ev ya da besin maddesi arasında öyle bir ilgi vardır. Eğer bu böyle olmasaydı, değiş-tokuş ve biraraya gelme de olmazdı. Ve eğer bunlar bir şekilde eşitleştirilmeselerdi, bu böyle olmazdı. O halde, daha önce dediğimiz gibi, her şey tek bir şeyle ölçülmeli. Bu ölçü ise gerçekten de ihtiyaçtır; o her şeyi birarada tutar. Nitekim insan hiçbir şeye ihtiyaç duymasaydı

ἢ μὴ ὁμοίως, ἢ οὐκ ἔσται ἀλλαγὴ ἢ οὐχ ἡ αὐτή· οἷον δ' ὑπάλλαγμα τῆς χρείας τὸ νόμισμα γέγονε κατὰ συνθήκην· καὶ διὰ τοῦτο τοὔνομα ἔχει νόμισμα, ὅτι οὐ φύσει ἀλλὰ νόμῳ ἐστί, καὶ ἐφ' ἡμῖν μεταβαλεῖν καὶ ποιῆσαι ἄχρηστον. ἔσται 12 δὴ ἀντιπεπονθός, ὅταν ἰσασθῇ, ὥστε ὅπερ γεωργὸς πρὸς σκυτοτόμον, τὸ ἔργον τὸ τοῦ σκυτοτόμου πρὸς τὸ τοῦ γεωργοῦ.
1133 b εἰς σχῆμα δ' ἀναλογίας οὐ δεῖ ἄγειν, ὅταν ἀλλάξωνται (εἰ δὲ μή, ἀμφοτέρας ἕξει τὰς ὑπεροχὰς τὸ ἕτερον ἄκρον), ἀλλ' ὅταν ἔχωσι τὰ αὑτῶν. οὕτως ἴσοι καὶ κοινωνοί, ὅτι αὕτη ἡ ἰσότης δύναται ἐπ' αὐτῶν γίνεσθαι. γεωργὸς α, τροφὴ γ, σκυτοτόμος β, τὸ ἔργον αὐτοῦ τὸ ἰσασμένον δ. εἰ δ' οὕτω μὴ ἦν ἀντιπεπονθέναι, οὐκ ἂν ἦν κοινωνία. ὅτι δ' ἡ χρεία 13 συνέχει ὥσπερ ἕν τι ὄν, δηλοῖ ὅτι ὅταν μὴ ἐν χρείᾳ ὦσιν ἀλλήλων, ἢ ἀμφότεροι ἢ ἄτερος, οὐκ ἀλλάττονται, †ὥσπερ ὅταν οὗ ἔχει αὐτὸς δέηταί τις, οἷον οἴνου, διδόντες σίτου ἐξαγωγήν.† δεῖ ἄρα τοῦτο ἰσασθῆναι. ὑπὲρ δὲ τῆς μελλούσης 14 ἀλλαγῆς, εἰ νῦν μηδὲν δεῖται, ὅτι ἔσται ἂν δεηθῇ, τὸ νόμισμα οἷον ἐγγυητὴς ἐσθ' ἡμῖν· δεῖ γὰρ τοῦτο φέροντι εἶναι λαβεῖν. πάσχει μὲν οὖν καὶ τοῦτο τὸ αὐτό· οὐ γὰρ ἀεὶ ἴσον δύναται· ὅμως δὲ βούλεται μένειν μᾶλλον. διὸ δεῖ πάντα τετιμῆσθαι· οὕτω γὰρ ἀεὶ ἔσται ἀλλαγή, εἰ δὲ τοῦτο, κοινωνία. τὸ δὴ νόμισμα ὥσπερ μέτρον σύμμετρα ποιῆσαν ἰσάζει· οὔτε γὰρ ἂν μὴ οὔσης ἀλλαγῆς κοινωνία ἦν, οὔτ' ἀλλαγὴ ἰσότητος μὴ οὔσης, οὔτ' ἰσότης μὴ οὔσης συμμετρίας. τῇ μὲν οὖν ἀληθείᾳ ἀδύνατον τὰ τοσοῦτον διαφέροντα σύμμετρα γενέσθαι, πρὸς δὲ τὴν χρείαν ἐνδέχεται ἱκανῶς. ἓν δή τι δεῖ 15 εἶναι, τοῦτο δ' ἐξ ὑποθέσεως· διὸ νόμισμα καλεῖται· τοῦτο

1133 b 1. ἀναλογίας post ἄγειν K b οὐ om. Γ 2. ὑπερβολὰς K b 3. τὰ αὐτῶν K b 4. α] τὸ α K b 9. οὗ ἔχει] οὐχὶ K b τις om. K b δόντες K b ἐξαγωγῆς K b 12. φανερόντι K b 13. vel τὸ vel τὸ αὐτὸ fort. secludendum

ya da ihtiyaçları farklı olmasaydı, ya değiş-tokuş olmazdı ya da böyle değiş-tokuş olmazdı. Uylaşımla, ihtiyacın değiş-tokuşunda kullanmak üzere para getirilmiştir; ona [Yunancada] *'nomisma'* adı verilmiştir, çünkü doğal olarak değil, uylaşımla [nomo][49] vardır ve onu değiştirmek ya da işe yaramaz hale getirmek elimizdedir. Öyleyse şeyler eşitleştirilince, karşılık alma sözkonusu olur, öyle ki ayakkabıcı ile çiftçi arasındaki ilişki nasılsa ayakkabıcının yaptığı ile çiftçininki arasındaki ilişki de öyle olur. Ama bunlar, değiş-tokuş yapıldıktan sonra orantı biçimine sokulmamalı (yoksa heriki aşırılık uçlardan birinde olacaktır), herbiri kendine ait olanı bulundurduğu zaman orantı kurulmalıdır. Bu şekilde eşit ve birarada olacaklar, çünkü bu tür bir eşitlik bunların durumunda kurulabilir –örneğin a çiftçi, c besin, b ayakkabıcı, d ise onun eşitliğe uygun olarak yaptığı [ayakkabılar] durumunda. Eğer böyle bir karşılık alma olmasaydı, biraraya gelme de olamazdı. İhtiyacın –sanki bir tek şey imişcesine– insanları birarada tuttuğunu şu da gösteriyor: Eğer iki kişi karşılıklı olarak biribirlerine –ya da biri diğerine– ihtiyaç duymazsa, değiş-tokuş yapmazlar. Örneğin sahip olmadığı bir şeye, sözgelişi şaraba, ihtiyaç duyan, ihtiyaç duyduğu bu şeye karşılık buğday vererek ihtiyacını gidermek isterse, o zaman bunun eşitlenmesi gerekir. Para gelecekteki değiş-tokuşlar için bir güvence gibidir: Eğer şimdi bir şeye ihtiyacı yoksa, ihtiyacı olduğu zaman onu edinebileceği konusunda bir güvence; çünkü bu parayı taşıyanın bunu almasının olanaklı olması gerekir. Aynı şey paranın da başına gelebilir; çünkü her zaman aynı güce sahip değildir; ama gene de o, genellikle sabit kalıyor. Bunun için her şeye fiyat biçilmesi gerekir. Çünkü böylece her zaman değiş-tokuş olacaktır, değiş-tokuş olunca da birarada olma da olacaktır. Böylece para bir ölçü gibi, şeyleri denk kılıp eşitleştirir. Nitekim eğer değiş-tokuş olmasaydı birarada olma da olmazdı, denkleştirme de olmasaydı, değiş-tokuş olmazdı. Gerçekten de bunca farklı şeylerin denk olması olanaksızdır, ama ihtiyaçla ilgili olarak bu yeterince yapılabilir. [Bu denkleştirme için] bir tek şeyin olması gerekir, bu da bir kabulle olur; bunun için bu şeye [Yunancada] *'nomisma'* denir; çünkü o,

30 1133b 5 10 15 20

γὰρ πάντα ποιεῖ σύμμετρα· μετρεῖται γὰρ πάντα νομίσματι. οἰκία α, μναῖ δέκα β, κλίνη γ. τὸ α τοῦ β ἥμισυ, εἰ πέντε μνῶν ἀξία ἡ οἰκία, ἢ ἴσον· ἡ δὲ κλίνη δέκατον μέρος, τὸ γ τοῦ β· δῆλον τοίνυν πόσαι κλῖναι ἴσον
16 οἰκίᾳ, ὅτι πέντε. ὅτι δ' οὕτως ἡ ἀλλαγὴ ἦν πρὶν τὸ νόμισμα εἶναι, δῆλον· διαφέρει γὰρ οὐδὲν ἢ κλῖναι πέντε ἀντὶ οἰκίας, ἢ ὅσου αἱ πέντε κλῖναι.

17 Τί μὲν οὖν τὸ ἄδικον καὶ τί τὸ δίκαιόν ἐστιν, εἴρηται. 9
διωρισμένων δὲ τούτων δῆλον ὅτι ἡ δικαιοπραγία μέσον ἐστὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι· τὸ μὲν γὰρ πλέον ἔχειν τὸ δ' ἔλαττόν ἐστιν. ἡ δὲ δικαιοσύνη μεσότης τίς ἐστιν, οὐ τὸν αὐτὸν δὲ τρόπον ταῖς ἄλλαις ἀρεταῖς, ἀλλ' ὅτι μέσου ἐστίν· ἡ δ' ἀδικία τῶν ἄκρων. καὶ ἡ μὲν δικαιοσύνη ἐστὶ καθ' ἣν ὁ 1134ᵃ
δίκαιος λέγεται πρακτικὸς κατὰ προαίρεσιν τοῦ δικαίου, καὶ διανεμητικὸς καὶ αὐτῷ πρὸς ἄλλον καὶ ἑτέρῳ πρὸς ἕτερον οὐχ οὕτως ὥστε τοῦ μὲν αἱρετοῦ πλέον αὐτῷ ἔλαττον δὲ τῷ πλησίον, τοῦ βλαβεροῦ δ' ἀνάπαλιν, ἀλλὰ τοῦ ἴσου τοῦ κατ'
18 ἀναλογίαν, ὁμοίως δὲ καὶ ἄλλῳ πρὸς ἄλλον. ἡ δ' ἀδικία τοὐναντίον τοῦ ἀδίκου. τοῦτο δ' ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις τοῦ ὠφελίμου ἢ βλαβεροῦ παρὰ τὸ ἀνάλογον. διὸ ὑπερβολὴ καὶ ἔλλειψις ἡ ἀδικία, ὅτι ὑπερβολῆς καὶ ἐλλείψεώς ἐστιν, ἐφ' αὐτοῦ μὲν ὑπερβολῆς μὲν τοῦ ἁπλῶς ὠφελίμου, ἐλλείψεως
δὲ τοῦ βλαβεροῦ· ἐπὶ δὲ τῶν ἄλλων τὸ μὲν ὅλον ὁμοίως, τὸ δὲ παρὰ τὸ ἀνάλογον, ὁποτέρως ἔτυχεν. τοῦ δὲ ἀδικήματος τὸ μὲν ἔλαττον ἀδικεῖσθαί ἐστι, τὸ δὲ μεῖζον τὸ ἀδικεῖν.
19 περὶ μὲν οὖν δικαιοσύνης καὶ ἀδικίας, τίς ἑκατέρας ἐστὶν

---

23. τὸ δὴ α L^b 26. ὅτι πέντε om. pr. K^b δὴ K^b 27. εἶναι M^b: ἢ K^b: om. L^b 32. τίς om. M^b Γ 33. δὲ om. M^b Γ ἄλλαις K^b L^b: πρότερον M^b (et fort. Γ) 1134ᵃ 13. ἀδικεῖσθαι K^b: τὸ ἀδικεῖσθαι vulg.

her şeyi denkleştirir; nitekim her şey para ile ölçülür: a bir ev, b on *mna*[50], c ise bir yatak olsun. Yani ev beş *mna* ya da beş *mna*ya eşdeğer ise, a, b nin yarısıdır; yatak ise, yani c, b nin de onda biri olsun. O zaman bir evin kaç yatağın eşdeğeri olduğu açıktır: Yani beş yatağa. Para bulunmadan önce değiş-tokuşun bu şekilde yapıldığı açık; çünkü bir ev için beş yatak vermek ile beş yatağın eşdeğerini vermek arasında hiç fark yoktur.

Böylece adaletsizliğin ve adaletin ne olduğunu söylemiş olduk. Bunlar belirlenince adaletli eylemin, haksızlık etmek ve haksızlığa uğramanın ortası olduğu açıktır; çünkü biri daha fazlaya öteki daha aza sahip olmaktır. Adalet de bir ortadır, ama öteki erdemlerin olduğu şekilde değil; o, orta olanın özelliğidir; adaletsizlik ise uçların özelliğidir. Ayrıca adalet, adil insanın "adaletli şeyleri tercih ederek yapan ve gerek başkasıyla ilişkisinde kendine, gerek biriyle ilişkisinde başkasına, tercih edilen şeyi kendisine daha çok diğerine de daha az, zararlı olan şeyi de bunun tam tersi olacak şekilde paylaştırmayan, hem kendisinin hem de bir başkasının başka biriyle ilişkisinde oranlayarak eşitçe paylaştıran insan" şeklinde tanımlanmasını sağlayan şeydir. Adaletsizlik ise tam tersine adaletli olmayanı tercih eder. Bu da yararlı ve zararlı olanın orana aykırı olan fazlalığı ve eksikliğidir. Bunun için adaletsizlik bir aşırılık ve eksikliktir, çünkü fazla ve az olanı tercih eder —kişinin kendisi sözkonusu olduğunda kendi başına yararlı olanın fazlasını, zararlı olanın azını tercih eder; başkaları sözkonusu olduğunda da bütününde bir fark yoktur, oranlamaya aykırılığın ise iki taraftan hangisinin yararına-zararına olduğu rastlantısaldır. Demek ki haksız eylemde 'daha az' haksızlığa uğramak, 'daha çok' ise haksızlık etmek olur. Böylece adalet ile adaletsizlikten —ve aynı şekilde genel anlamda hak ile haksızlıktan— yani

ἡ φύσις, εἰρήσθω τοῦτον τὸν τρόπον, ὁμοίως δὲ καὶ περὶ δικαίου καὶ ἀδίκου καθόλου.

VI. Ἐπεὶ δ' ἔστιν ἀδικοῦντα μήπω ἄδικον εἶναι, ὁ ποῖα ἀδικήματα ἀδικῶν ἤδη ἄδικός ἐστιν ἑκάστην ἀδικίαν, οἷον κλέπτης ἢ μοιχὸς ἢ λῃστής; ἢ οὕτω μὲν οὐδὲν διοίσει; καὶ γὰρ ἂν συγγένοιτο γυναικὶ εἰδὼς τὸ ᾗ, ἀλλ' οὐ διὰ προαιρέσεως ἀρχὴν ἀλλὰ διὰ πάθος. ἀδικεῖ μὲν οὖν, ἄδικος δ' οὐκ ἔστιν, 2 οἷον οὐ κλέπτης, ἔκλεψε δέ, οὐδὲ μοιχός, ἐμοίχευσε δέ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. πῶς μὲν οὖν ἔχει τὸ ἀντιπε- 3 πονθὸς πρὸς τὸ δίκαιον, εἴρηται πρότερον· δεῖ δὲ μὴ λαν- 4 θάνειν ὅτι τὸ ζητούμενόν ἐστι καὶ τὸ ἁπλῶς δίκαιον καὶ τὸ πολιτικὸν δίκαιον. τοῦτο δ' ἔστιν ἐπὶ κοινωνῶν βίου πρὸς τὸ εἶναι αὐτάρκειαν, ἐλευθέρων καὶ ἴσων ἢ κατ' ἀναλογίαν ἢ κατ' ἀριθμόν· ὥστε ὅσοις μή ἐστι τοῦτο, οὐκ ἔστι τούτοις πρὸς ἀλλήλους τὸ πολιτικὸν δίκαιον, ἀλλά τι δίκαιον καὶ καθ' ὁμοιότητα. ἔστι γὰρ δίκαιον, οἷς καὶ νόμος πρὸς αὐτούς· νόμος δ', ἐν οἷς ἀδικία· ἡ γὰρ δίκη κρίσις τοῦ δικαίου καὶ τοῦ ἀδίκου. ἐν οἷς δ' ἀδικία, καὶ τὸ ἀδικεῖν ἐν τούτοις (ἐν οἷς δὲ τὸ ἀδικεῖν, οὐ πᾶσιν ἀδικία), τοῦτο δ' ἐστὶ τὸ πλέον αὑτῷ νέμειν τῶν ἁπλῶς ἀγαθῶν, ἔλαττον δὲ τῶν ἁπλῶς κακῶν. διὸ οὐκ ἐῶμεν ἄρχειν ἄνθρωπον, ἀλλὰ τὸν λόγον, ὅτι ἑαυτῷ 5
1134 b τοῦτο ποιεῖ καὶ γίνεται τύραννος. ἔστι δ' ὁ ἄρχων φύλαξ τοῦ δικαίου, εἰ δὲ τοῦ δικαίου, καὶ τοῦ ἴσου. ἐπεὶ δ' οὐθὲν 6 αὐτῷ πλέον εἶναι δοκεῖ, εἴπερ δίκαιος (οὐ γὰρ νέμει πλέον τοῦ ἁπλῶς ἀγαθοῦ αὑτῷ, εἰ μὴ πρὸς αὐτὸν ἀνάλογόν ἐστιν· διὸ ἑτέρῳ πονεῖ· καὶ διὰ τοῦτο ἀλλότριον εἶναί φασιν ἀγαθὸν τὴν δικαιοσύνην, καθάπερ ἐλέχθη καὶ πρότερον)· μισθὸς ἄρα 7 τις δοτέος, τοῦτο δὲ τιμὴ καὶ γέρας· ὅτῳ δὲ μὴ ἱκανὰ τὰ

---

16. δικαίου K^b: τοῦ δικαίου vulg. 22. οὐ K^b: οὐδὲ vulg. 25. καὶ post δίκαιον om. K^b 26. ἔστιν om. K^b ἐπὶ om. L^b 30. αὑτούς M^b: αὐτούς vulg. 32. δὴ Muenscher 35. νόμον M^b 1134 b 5. ποιεῖ Sylburg

her birinin doğal yapısının ne olduğundan bu şekilde sözetmiş olduk.

Haksızlık yapan birinin adaletsiz insan olmaması da olanaklı olduğuna göre, kişi ne tür haksızlık yaparsa, artık her haksızlık çeşidi açısından adaletsiz insan –örneğin hırsız, zani ya da haydut– olur? Yoksa nasıl yaparsa yapsın bir fark olmayacak mıdır? Sözgelişi biri bir kadınla, kim olduğunu bilerek ama tercih ederek değil, tutkudan dolayı yatarsa, bir fark olmayacak mı? Demek ki haksızlık yapıyor ama adaletsiz değildir; örneğin hırsız değildir ama hırsızlık yapıyor, zani değildir ama zina yapıyor; öteki konularda da bu böyle. Adalet ile karşılık verme arasındaki ilişkinin nasıl olduğu daha önce söylenmişti. Ama araştırma konusunun hem genelinde adalet hem de toplumdaki adalet olduğunu da gözden kaçırmamak gerek. Bu ise özgür ve oranlamaya göre ya da sayısal olarak eşit kişilerin, kendilerine yeter olmaları için yaşamı paylaşmalarında sözkonusudur, öyle ki bu özelliklerin bulunduğu kişiler arasındaki ilişkilerde toplumdaki adalet sözkonusu değil, buna benzetilerek adalet denen bir şey sözkonusudur. Nitekim aralarındaki ilişkiler yasayla düzenlenenler için hukuk sözkonusudur; yasa da biribirine haksızlık yapanlarda sözkonusu olur. Çünkü yargı, hak ile haksızlığı ayırmadır. Ve nerede adaletsizlik sözkonusuysa, orada haksızlık yapmak da sözkonusudur, ama haksızlık yapmaların hepsinde adaletsizlik sözkonusu değildir; bu da kendisine genel olarak iyilerden daha çoğunu, genel olarak kötülerden de daha azını ayırmaktır. Bunun için bir insanın değil, aklın yönetmesine izin veriyoruz; çünkü bir insan bunu kendisi için yapar ve tiran olur. Oysa yönetici adaletin koruyucusudur ve eğer hakkın koruyucusu ise eşitliğin de koruyucusudur. Ve eğer adil ise, kendisinde daha fazla bir şeyin olmadığı düşünüldüğünden (nitekim kendisiyle orantılı olmadığı takdirde genel olarak iyiden kendine daha çok bir şey ayırmaz; bunun için başkasına çalışır; bu nedenle de, daha önce söylediğimiz gibi, adaletin başkası için iyi bir şey olduğunu söylerler), ona bir karşılık verilmelidir, bu da onur ve ayrıcalıktır. Bunlarla yetinemeyenler ise

15 20 25 30 35 1134b 5

8 τοιαῦτα, οὗτοι γίνονται τύραννοι. τὸ δὲ δεσποτικὸν δίκαιον
καὶ τὸ πατρικὸν οὐ ταὐτὸν τούτοις ἀλλ' ὅμοιον· οὐ γὰρ ἔστιν
ἀδικία πρὸς τὰ αὑτοῦ ἁπλῶς, τὸ δὲ κτῆμα καὶ τὸ τέκνον,
9 ἕως ἂν ᾖ πηλίκον καὶ χωρισθῇ, ὥσπερ μέρος αὑτοῦ, αὐτὸν
δ' οὐδεὶς προαιρεῖται βλάπτειν· διὸ οὐκ ἔστιν ἀδικία πρὸς
αὑτόν· οὐδ' ἄρα ἄδικον οὐδὲ δίκαιον τὸ πολιτικόν· κατὰ
νόμον γὰρ ἦν, καὶ ἐν οἷς ἐπεφύκει εἶναι νόμος, οὗτοι δ' ἦσαν
οἷς ὑπάρχει ἰσότης τοῦ ἄρχειν καὶ ἄρχεσθαι. διὸ μᾶλλον
πρὸς γυναῖκά ἐστι δίκαιον ἢ πρὸς τέκνα καὶ κτήματα· τοῦτο
γάρ ἐστι τὸ οἰκονομικὸν δίκαιον· ἕτερον δὲ καὶ τοῦτο τοῦ πο-
VII. λιτικοῦ. Τοῦ δὲ πολιτικοῦ δικαίου τὸ μὲν φυσικόν ἐστι τὸ δὲ
νομικόν, φυσικὸν μὲν τὸ πανταχοῦ τὴν αὐτὴν ἔχον δύναμιν,
καὶ οὐ τῷ δοκεῖν ἢ μή, νομικὸν δὲ ὃ ἐξ ἀρχῆς μὲν οὐδὲν
διαφέρει οὕτως ἢ ἄλλως, ὅταν δὲ θῶνται, διαφέρει, οἷον τὸ
μνᾶς λυτροῦσθαι, ἢ τὸ αἶγα θύειν ἀλλὰ μὴ δύο πρόβατα,
ἔτι ὅσα ἐπὶ τῶν καθ' ἕκαστα νομοθετοῦσιν, οἷον τὸ θύειν Βρα-
2 σίδᾳ, καὶ τὰ ψηφισματώδη. δοκεῖ δ' ἐνίοις εἶναι πάντα
τοιαῦτα, ὅτι τὸ μὲν φύσει ἀκίνητον καὶ πανταχοῦ τὴν αὐτὴν
ἔχει δύναμιν, ὥσπερ τὸ πῦρ καὶ ἐνθάδε καὶ ἐν Πέρσαις καίει,
3 τὰ δὲ δίκαια κινούμενα ὁρῶσιν. τοῦτο δ' οὐκ ἔστιν οὕτως
ἔχον, ἀλλ' ἔστιν ὡς· καίτοι παρά γε τοῖς θεοῖς ἴσως οὐδα-
μῶς, παρ' ἡμῖν δ' ἔστι μέν τι καὶ φύσει, κινητὸν μέντοι
4 πᾶν, ἀλλ' ὅμως ἐστὶ τὸ μὲν φύσει τὸ δ' οὐ φύσει. ποῖον
δὲ φύσει τῶν ἐνδεχομένων καὶ ἄλλως ἔχειν, καὶ ποῖον οὐ
ἀλλὰ νομικὸν καὶ συνθήκῃ, εἴπερ ἄμφω κινητὰ ὁμοίως,
δῆλον. καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς ἁρμόσει διορισμός· φύ-
σει γὰρ ἡ δεξιὰ κρείττων, καίτοι ἐνδέχεται πάντας ἀμφιδε-

---

10. τὸ post καὶ om. $K^b L^b$ 11. χωρισθῇ K^b Γ : μὴ χωρισθῇ $L^b M^b$
13. αὑτά Ramsauer 21. οἷον] οὕτως ἢ ἄλλως οἷον K^b 29. post
οὐδαμῶς add. ἔχον M^b Γ, ἔχον ἐστί L^b ante μέντοι add. οὐ M^b Γ
33. post δῆλον add. δὲ Γ δ] καὶ ὁ K^b 34. τινας ed. Wilkinson

tiranlar olurlar. Efendi ve baba hukuku ise bunlarla aynı değil, bunlara benzer bir şeydir; nitekim genellikle bize ait olan şeylerde haksızlık sözkonusu değildir, bir insanın kölesi ve çocuğu –belli bir yaşa geldiği andan ayrılıncaya kadar– kendisinin bir parçası gibidir; hiç kimse de kendine zarar vermek istemez; bundan dolayı bir insanın kendine karşı adaletsiz olması sözkonusu değildir, ne de toplumsal adalet ve adaletsizlik sözkonusu; çünkü bu, yasaya göre oluyordu ve yasayla ilgili olan insanlarda sözkonusuydu, bunlar da yönetmede ve yönetilmede aralarında eşitliğin bulunduğu kişilerdir. Bunun için bir insanın çocuğu ya da malıyla ilişkisinden çok, karısıyla ilişkisinde hak sözkonusudur; bu da aile hukukudur ve medenî hukuktan farklıdır. Medenî hukukun bir türü doğal, bir türü de yasaldır. Doğal olanı her yerde aynı güce sahiptir ve kanılara göre değişmez; yasal olanda ise başlangıçta şöyle ya da böyle olması fark etmeyen, ama konduktan sonra fark eden hukuktur; örneğin bir kişinin bir *mna* ile serbest bırakılması ya da iki koyun değil, bir keçinin kurban edilmesi gibi; ayrıca tek tek durumlarla ilgili olarak konan yasalarda da fark eder, örneğin Brasidas'a[51] kurban kesmede ve kararnamelerle konan şeylerde olduğu gibi. Kimileri de her şeyin böyle olduğunu düşünür, çünkü doğal olan değişmez, her yerde aynı güce sahiptir —ateşin hem burada hem de Perslerde yakması gibi—, ama hak sayılanların da değiştiğini görüyorlar. Oysa bu böyle değildir, ama böyle gibi görünür. Her ne kadar tanrılarda belki hiçbir şekilde değişmiyorsa bile, bizde tümü değişken olan —ama bir kısmı doğal bir şekilde, bir kısmı da doğal olmayan bir şekilde değişen— doğal bir hukuk vardır. Her ikisi de değişken olduğuna göre, başka türlü olabilecek şeylerden hangilerinin doğal bir şekilde, hangilerinin de doğal olmayan bir şekilde, yani yasayla ve uylaşmayla değiştiği açıktır. Başka şeylerde de aynı ayırım uygun düşüyor. Nitekim sağ el doğal olarak daha iyidir, her ne kadar herkes

ξίους γενέσθαι. τὰ δὲ κατὰ συνθήκην καὶ τὸ συμφέρον τῶν 5
1135ᵃ δικαίων ὁμοιά ἐστι τοῖς μέτροις· οὐ γὰρ πανταχοῦ ἴσα τὰ οἰνηρὰ καὶ σιτηρὰ μέτρα, ἀλλ' οὗ μὲν ὠνοῦνται, μείζω, οὗ δὲ πωλοῦσιν, ἐλάττω. ὁμοίως δὲ καὶ τὰ μὴ φυσικὰ ἀλλ' ἀνθρώπινα δίκαια οὐ ταὐτὰ πανταχοῦ, ἐπεὶ οὐδ' αἱ πολι-
τεῖαι, ἀλλὰ μία μόνον πανταχοῦ κατὰ φύσιν ἡ ἀρίστη. τῶν 6
δὲ δικαίων καὶ νομίμων ἕκαστον ὡς τὰ καθόλου πρὸς τὰ καθ' ἕκαστα ἔχει· τὰ μὲν γὰρ πραττόμενα πολλά, ἐκείνων δ' ἕκαστον ἕν· καθόλου γάρ. διαφέρει δὲ τὸ ἀδίκημα καὶ τὸ 7
ἄδικον καὶ τὸ δικαίωμα καὶ τὸ δίκαιον· ἄδικον μὲν γάρ ἐστι τῇ φύσει ἢ τάξει· αὐτὸ δὲ τοῦτο, ὅταν πραχθῇ, ἀδίκημά ἐστι, πρὶν δὲ πραχθῆναι, οὔπω, ἀλλ' ἄδικον. ὁμοίως δὲ καὶ δικαίωμα· καλεῖται δὲ μᾶλλον δικαιοπράγημα τὸ κοινόν, δικαίωμα δὲ τὸ ἐπανόρθωμα τοῦ ἀδικήματος. καθ' ἕκαστον δὲ αὐτῶν, ποιά τε εἴδη καὶ πόσα καὶ περὶ ποῖα τυγχάνει ὄντα, ὕστερον ἐπισκεπτέον. VIII.

Ὄντων δὲ τῶν δικαίων καὶ ἀδίκων τῶν εἰρημένων, ἀδικεῖ μὲν καὶ δικαιοπραγεῖ ὅταν ἑκών τις αὐτὰ πράττῃ· ὅταν δ' ἄκων, οὔτ' ἀδικεῖ οὔτε δικαιοπραγεῖ ἀλλ' ἢ κατὰ συμβεβηκός· οἷς γὰρ συμβέβηκε δικαίοις εἶναι ἢ ἀδίκοις, πράττουσιν. ἀδίκημα δὲ καὶ 2
δικαιοπράγημα ὥρισται τῷ ἑκουσίῳ καὶ ἀκουσίῳ· ὅταν γὰρ ἑκούσιον ᾖ, ψέγεται, ἅμα δὲ καὶ ἀδίκημα τότ' ἐστίν· ὥστ' ἔσται τι ἄδικον μὲν ἀδίκημα δ' οὔπω, ἂν μὴ τὸ ἑκούσιον προσῇ. λέγω δ' ἑκούσιον μέν, ὥσπερ καὶ πρότερον εἴρηται, 3
ὃ ἄν τις τῶν ἐφ' αὑτῷ ὄντων εἰδὼς καὶ μὴ ἀγνοῶν πράττῃ μήτε ὃν μήτε ᾧ μήτε οὗ ⟨ἕνεκα⟩, οἷον τίνα τύπτει καὶ τίνι καὶ

1135ᵃ 4. οὐδ' αἱ] οὐδὲ K^b L^b πολιτεία Γ 6. τὸ καθόλου H^a 10. τῇ] ἢ Rassow αὐτὸ K^b L^b : τὸ αὐτὸ M^b Γ 11. ἐστι om. K^b L^b post ἄδικον add. ὅτι (τι K^b) ὅταν πραχθῇ ἀδίκημα ἐστίν K^b L^b 19. δὴ Muenscher 25. ὃν] ὃ K^b Γ ἕνεκα add. Γ καὶ τίνι om. K^b

her iki elini iyi kullanacak duruma gelse bile. Uylaşmayla ve yarara uygun olarak konmuş haklar da ölçülere benzerler; örneğin şarap ve buğday ölçekleri her yerde eşit değildir, satın alınan şeyin ölçekleri daha büyük, satılanlarınkiler ise daha küçüktür. Aynı şekilde doğal değil, insansal haklar da her yerde aynı değildir, çünkü siyasal düzenler de aynı değildir; ama her yerde doğal olarak en iyi olan yalnızca bir tanedir. Adaletli olan ve yasaya uygun olan tek tek şeylerin bunlarla ilişkisi ise, teklerin genelle ilişkisi gibidir; nitekim yapılıp edilenler pek çoktur, adaletli olan ve yasaya uygun olan ise —her biri— bir tanedir; çünkü geneldir. Haksız olan ile adaletsiz olan ve haklı olan ile adaletli olan arasında da fark vardır; nitekim adaletsiz olan doğal olarak ya da düzenden dolayı böyledir; oysa bu aynı şey gerçekleştirilince bir haksızlık olur, ama yapılmadan önce haksızlık değildir; yalnızca adaletsiz olandır. Haklı olanla da durum aynıdır: Genel olarak ona haklı eylem denir, diğer sözcük *[dikaiosyne]* ise daha çok yapılan haksızlığın telâfi edilmesi için kullanılır. Bunların her biri nedir, ne gibi türleri vardır, kaç tanedir ve nelerle ilgilidir konusu daha sonra ele alınacak. Adalet ve adaletsizlik söylediğimiz şeyler olduğuna göre, bir insan isteyerek bunları yaptığı zaman bir haksızlık yapıyor ya da haklı eylemde bulunuyor; oysa istemeyerek yaptığı zaman ne bir haksızlık yapıyor ne de haklı bir eylemde bulunuyor, yaptığı rastlantısal oluyor; çünkü adaletli olmaları ya da adaletli olmamaları rastlantısal olan eylemler yapıyor. O halde haklı eylem ve haksız eylem isteyerek ve istemeyerek yapılmış olmakla belirlenmiş oluyor; çünkü isteyerek yapıldığı zaman kınanır ve o takdirde aynı zamanda haksız bir eylemdir; öyle ki eğer eylemin isteyerek yapılma özelliği yoksa, yapılan bir haksızlık olacak ama eylem haksız olmayacak. Daha önce de söylediğim gibi 'isteyerek yapılan', birinin, kendine bağlı şeyleri bilmeyerek değil, bilerek —kişiyi, aracı ve amacı bilerek— yaptığına diyorum.

35 1135a 5 10 15 20 25

τίνος ἕνεκα, κἀκείνων ἕκαστον μὴ κατὰ συμβεβηκὸς μηδὲ βίᾳ (ὥσπερ εἴ τις λαβὼν τὴν χεῖρα αὐτοῦ τύπτοι ἕτερον, οὐχ ἑκών· οὐ γὰρ ἐπ' αὐτῷ)· ἐνδέχεται δὲ τὸν τυπτόμενον πατέρα εἶναι, τὸν δ' ὅτι μὲν ἄνθρωπος ἢ τῶν παρόντων τις γινώσκειν, ὅτι δὲ πατὴρ ἀγνοεῖν· ὁμοίως δὲ τὸ τοιοῦτον διορίσθω καὶ ἐπὶ τοῦ οὗ ἕνεκα, καὶ περὶ τὴν πρᾶξιν ὅλην. τὸ δὴ ἀγνοούμενον, ἢ μὴ ἀγνοούμενον μὲν μὴ ἐπ' αὐτῷ δ' ὄν, ἢ βίᾳ, ἀκούσιον. πολλὰ γὰρ καὶ τῶν φύσει ὑπαρχόντων εἰδότες καὶ πράττομεν καὶ πάσχομεν, ὧν οὐθὲν οὔθ' ἑκούσιον οὔτ' 1135b
4 ἀκούσιόν ἐστιν, οἷον τὸ γηρᾶν ἢ ἀποθνήσκειν. ἔστι δ' ὁμοίως ἐπὶ τῶν ἀδίκων καὶ τῶν δικαίων καὶ τὸ κατὰ συμβεβηκός· καὶ γὰρ ἂν τὴν παρακαταθήκην ἀποδοίη τις ἄκων καὶ διὰ φόβον, ὃν οὔτε δίκαια πράττειν οὔτε δικαιοπραγεῖν φατέον
5 ἀλλ' ἢ κατὰ συμβεβηκός. ὁμοίως δὲ καὶ τὸν ἀναγκαζόμενον καὶ ἄκοντα τὴν παρακαταθήκην μὴ ἀποδιδόντα κατὰ συμβεβηκὸς φατέον ἀδικεῖν καὶ τὰ ἄδικα πράττειν. τῶν δὲ ἑκουσίων τὰ μὲν προελόμενοι πράττομεν τὰ δ' οὐ προελόμενοι, προελόμενοι μὲν ἅσα προβουλευσάμενοι, ἀπροαίρετα
6 δὲ ὅσ' ἀπροβούλευτα. τριῶν δὴ οὐσῶν βλαβῶν τῶν ἐν ταῖς κοινωνίαις, τὰ μὲν μετ' ἀγνοίας ἁμαρτήματά ἐστιν, ὅταν μήτε ὃν μήτε ὃ μήτε ᾧ μήτε οὗ ἕνεκα ὑπέλαβε πράξῃ· ἢ γὰρ οὐ βάλλειν ἢ οὐ τούτῳ ἢ οὐ τοῦτον ἢ οὐ τούτου ἕνεκα ᾠήθη, ἀλλὰ συνέβη οὐχ οὗ ἕνεκα ᾠήθη, οἷον οὐχ ἵνα τρώσῃ ἀλλ'
7 ἵνα κεντήσῃ, ἢ οὐχ ὅν, ἢ οὐχ ᾧ. ὅταν μὲν οὖν παραλόγως ἡ βλάβη γένηται, ἀτύχημα· ὅταν δὲ μὴ παραλόγως, ἄνευ δὲ κακίας, ἁμάρτημα (ἁμαρτάνει μὲν γὰρ ὅταν ἡ ἀρχὴ
8 ἐν αὐτῷ ᾖ τῆς αἰτίας, ἀτυχεῖ δ' ὅταν ἔξωθεν)· ὅταν δὲ

---

26. ἑκάτερον K^b 31. τοῦ K^b: τῶν L^b M^b Γ 1135b 3. καὶ ante τὸ om. M^b 5. ὃν add. K^b 11. δὴ] δ' L^b 13. ante πράξῃ add. ταῦτα L^b M^b Γ 14. βάλλειν K^b: βαλεῖν vulg. 16. ὧι K^b: ὡς vulg. 19. ἀγνοίας Jackson

Hem de bunlardan her biri rastlantısal ya da zorla yapılmadığı zaman (örneğin biri birinin elini tutarak bununla bir başkasına vururşa, ikincisi isteyerek vurmuş olmuyor; çünkü bu ona bağlı değildir); vurulan kişi babası olabilir, o ise onun bir insan ya da orada bulunanlardan biri olduğunu bilebilir ama babası olduğunu bilmeyebilir; aynı şekilde amaç için ve tüm eylem için de böyle bir şey belirlenebilir. Bilmeden yapılan ise, bilinmeden yapıldığı zaman kişinin elinde değildir ya da zorla yapılan istemeyerek yapılandır. Nitekim biz doğal olan birçok şeyi bilerek yapıyoruz ya da onlara maruz kalıyoruz, ki bunlardan hiçbiri ne isteyerek ne de istemeyerek oluyor; örneğin yaşlanmak ve ölmek gibi. Hak ve haksızlıkların aynı şekilde rastlantısal olması da sözkonusudur; nitekim eğer biri bir emaneti istemeyerek ya da korkudan geri verirse, onun ne haklı bir şey yaptığını ne de haklı eylemde bulunduğunu, ancak rastlantısal davrandığını söylemek gerekir. Aynı şekilde bir emaneti mecbur edilerek ve istemeyerek geri vermeyenin yalnızca rastlantısal olarak haksızlık yaptığını ve haksız eylemde bulunduğunu söylemek gerekir. İsteyerek yapılanlardan kimini tercih ederek, kimini de tercih etmeden yapıyoruz: Önceden düşünüp taşındıklarımızı tercih ederek, düşünüp taşınmadıklarımızı ise tercih etmeyerek. Bir araya gelmelerde meydana gelen zararlar üç çeşittir: Bilgisizlikten dolayı yapılanlar hatadırlar; örneğin eylemi yapan kime, neyi, ne ile, niçin yaptığı konusunda yanılırsa; çünkü ya vurmayı düşünmemiş ya o şeyle vurmayı düşünmemiş ya da o insana vurmayı veya o sonucu yaratmak için vurmayı düşünmemiş, olan da amacına aykırı olarak olup bitmiştir (örneğin yaralamak değil, bir fiske vurmak amacıyla vurduysa veya vurduğunu sandığı kişiye ya da vurduğunu sandığı araçla vurmadıysa). O halde zarar tahmin edilemeyecek şekilde meydana gelince, ona talihsizlik denir; tahmin edilemeyecek şekilde değil, ama bir kötülük de düşünülmeden meydana gelince ise, ona hata denir (nitekim neden olmanın başlangıcında olduğu zaman insan hata yapıyor, neden onun dışında olduğu zaman ise başına bir talihsizlik gelmiş oluyor). Önceden

30 1135b 5 10 15

εἰδὼς μὲν μὴ προβουλεύσας δέ, ἀδίκημα, οἷον ὅσα τε διὰ θυμὸν καὶ ἄλλα πάθη, ὅσα ἀναγκαῖα ἢ φυσικὰ συμβαίνει τοῖς ἀνθρώποις· ταῦτα γὰρ βλάπτοντες καὶ ἁμαρτάνοντες ἀδικοῦσι μέν, καὶ ἀδικήματά ἐστιν, οὐ μέντοι πω ἄδικοι διὰ ταῦτα οὐδὲ πονηροί· οὐ γὰρ διὰ μοχθηρίαν ἡ βλάβη· ὅταν δ' ἐκ προαιρέσεως, ἄδικος καὶ μοχθηρός. διὸ καλῶς 9 τὰ ἐκ θυμοῦ οὐκ ἐκ προνοίας κρίνεται· οὐ γὰρ ἄρχει ὁ θυμῷ ποιῶν, ἀλλ' ὁ ὀργίσας. ἔτι δὲ οὐδὲ περὶ τοῦ γενέσθαι ἢ μὴ 10 ἀμφισβητεῖται, ἀλλὰ περὶ τοῦ δικαίου· ἐπὶ φαινομένῃ γὰρ ἀδικίᾳ ἡ ὀργή ἐστιν. οὐ γὰρ ὥσπερ ἐν τοῖς συναλλάγμασι περὶ τοῦ γενέσθαι ἀμφισβητοῦσιν, ὧν ἀνάγκη τὸν ἕτερον εἶναι μοχθηρόν, ἂν μὴ διὰ λήθην αὐτὸ δρῶσιν· ἀλλ' ὁμολογοῦντες περὶ τοῦ πράγματος, περὶ δὲ τοῦ ποτέρως δίκαιον ἀμφισβητοῦσιν (ὁ δ' ἐπιβουλεύσας οὐκ ἀγνοεῖ), ὥστε ὃ μὲν οἴεται ἀδι- 1136ª κεῖσθαι, ὃ δ' οὔ. ἐὰν δ' ἐκ προαιρέσεως βλάψῃ, ἀδικεῖ· καὶ 11 κατὰ ταῦτ' ἤδη τὰ ἀδικήματα ὁ ἀδικῶν ἄδικος, ὅταν παρὰ τὸ ἀνάλογον ᾖ ἢ παρὰ τὸ ἴσον. ὁμοίως δὲ καὶ δίκαιος, ὅταν προελόμενος δικαιοπραγῇ· δικαιοπραγεῖ δέ, ἂν μόνον ἑκὼν πράττῃ. τῶν δ' ἀκουσίων τὰ μέν ἐστι συγγνωμονικὰ τὰ δ' 12 οὐ συγγνωμονικά. ὅσα μὲν γὰρ μὴ μόνον ἀγνοοῦντες ἀλλὰ καὶ δι' ἄγνοιαν ἁμαρτάνουσι, συγγνωμονικά, ὅσα δὲ μὴ δι' ἄγνοιαν, ἀλλ' ἀγνοοῦντες μὲν διὰ πάθος δὲ μήτε φυσικὸν μήτ' ἀνθρώπινον, οὐ συγγνωμονικά.

11 Ἀπορήσειε δ' ἄν τις, εἰ ἱκανῶς διώρισται περὶ τοῦ ἀδι- IX.
κεῖσθαι καὶ ἀδικεῖν, πρῶτον μὲν εἰ ἔστιν ὥσπερ Εὐριπίδης εἴρηκε, λέγων ἀτόπως

μητέρα κατέκταν τὴν ἐμήν, βραχὺς λόγος.
ἑκὼν ἑκοῦσαν, ἢ ⟨οὐχ⟩ ἑκοῦσαν οὐχ ἑκών;

---

29. *ἐν* om. K^b *ἀνθρωπικὸν* L^b M^b *κατέκτα* codd. 32. *δὲ* add. pr. K^b 1136ª 9. *ἀνθρώπινον* pr. K^b: 12. *ἀτόπως*] *τὸ πῶς* pr. K^b 13. *κατέκταν* Γ: 14. ⟨*οὐχ*⟩ *ἑκοῦσαν* Jackson : *θέλουσαν* codd.

tasarlamadan ama bilerek yapılan, haksız eylem olur; örneğin öfke[52] yüzünden ve insanlarda zorunlu ya da doğal olan duygulanımlar yüzünden yapılanlar gibi. Çünkü zarar vermekle ve hataya düşmekle haksızlık yapıyorlar, yaptıkları eylemler de haksızlıktırlar, ama kendileri bunlardan dolayı bir şekilde adaletsiz ya da kötü olmuyorlar; çünkü verdikleri zarar kötülükten gelmiyor; oysa zarar tercih edilerek veriliyorsa, adaletsiz ve kötüdürler. Bunun için kaynağı öfke olan zararlar doğru bir şekilde önceden tasarlanmayanlardan sayılır. Nitekim buna neden olan, öfke ile davranan değil, öfkelendirendir. Ayrıca tartışma konusu olan, yapılanların olup olmadığı değil, haklı olup olmadığıdır; çünkü öfke, görünüşte haksızlık olan bir şeye duyulur. Nitekim burada —alışverişlerde olduğu gibi— tartışma konusu olan, bir şeyin olup olmadığı değildir —ki o takdirde bunu, unutmaktan yapmıyorlarsa, ikisinden birinin kötü olması gerekir—; olan konusunda anlaştıkları halde, hangisinin haklı olduğu konusunda tartışıyorlar (önceden tasarlayan ise bilmeyerek yapıyor değildir), öyle ki biri haksızlığa uğradığını öteki ise uğramadığını sanır. Ama bir insan tercih ederek zarar verdiği zaman, haksızlık yapıyor demektir; böyle eylemlerle haksızlık yapan, orantılı olana ya da eşitliğe aykırı davranan, adaletsiz bir insandır. Aynı şekilde biri tercih ederek adaletli eylemde bulunduğu zaman da adil bir insandır; ancak isteyerek davrandığı takdirde adaletli eylemde bulunur. İstemeyerek yapılanların kimi bağışlanabilir, kimi ise bağışlanamaz niteliktedir. Yalnız bilmeyerek yapılmayıp aynı zamanda bilgisizlikten ötürü yapılanlar bağışlanabilir; buna karşı bilgisizlikten dolayı değil de doğal ya da insanca olmayan bir tutkudan ötürü bilmeyerek yapılanlar, bağışlanamaz olanlardır.

Haksızlık etme ve haksızlığa uğramanın yeterince belirlenip belirlenmediği tartışma konusu olabilir. İlkin Euripides'in garip bir biçimde söylediğinin olup olamayacağına [bakılabilir]:

"İki kelimeyle, kendi annemi öldürdüm;
ben isteyerek o istediği için mi, yoksa
ben isteyerek değil o da istemediği halde mi?"[53]

πότερον γὰρ ὡς ἀληθῶς ἔστιν ἑκόντα ἀδικεῖσθαι, ἢ οὐ ἀλλ' ἀκούσιον ἅπαν, ὥσπερ καὶ τὸ ἀδικεῖν πᾶν ἑκούσιον; καὶ ἆρα πᾶν οὕτως ἢ ἐκείνως, [ὥσπερ καὶ τὸ ἀδικεῖν πᾶν ἑκούσιον,] ἢ
2 τὸ μὲν ἑκούσιον τὸ δ' ἀκούσιον; ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοῦσθαι· τὸ γὰρ δικαιοπραγεῖν πᾶν ἑκούσιον· ὥστ' εὔλογον ἀντικεῖσθαι ὁμοίως καθ' ἑκάτερον, τό τ' ἀδικεῖσθαι καὶ δικαιοῦσθαι ἢ ἑκούσιον ἢ ἀκούσιον εἶναι. ἄτοπον δ' ἂν δόξειε καὶ ἐπὶ τοῦ δικαιοῦσθαι, εἰ πᾶν ἑκούσιον· ἔνιοι γὰρ δικαιοῦνται
3 οὐχ ἑκόντες. ἔπειτα καὶ τόδε διαπορήσειεν ἄν τις, πότερον ὁ τὸ ἄδικον πεπονθὼς ἀδικεῖται πᾶς, ἢ ὥσπερ καὶ ἐπὶ τοῦ πράττειν, καὶ ἐπὶ τοῦ πάσχειν ἐστίν· κατὰ συμβεβηκὸς γὰρ ἐνδέχεται ἐπ' ἀμφοτέρων μεταλαμβάνειν τῶν δικαίων· ὁμοίως δὲ δῆλον ὅτι καὶ ἐπὶ τῶν ἀδίκων· οὐ γὰρ ταὐτὸν τὸ τἄδικα πράττειν τῷ ἀδικεῖν οὐδὲ τὸ ἄδικα πάσχειν τῷ ἀδικεῖσθαι· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοπραγεῖν καὶ δικαιοῦσθαι· ἀδύνατον γὰρ ἀδικεῖσθαι μὴ ἀδικοῦντος ἢ δικαιοῦσθαι μὴ δικαιο-
4 πραγοῦντος. εἰ δ' ἐστὶν ἁπλῶς τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα τινά, τὸ δ' ἑκόντα εἰδότα καὶ ὃν καὶ ᾧ καὶ ὡς, ὁ δ' ἀκρατὴς ἑκὼν βλάπτει αὐτὸς αὑτόν, ἑκὼν τ' ἂν ἀδικοῖτο κἂν ἐνδέχοιτο αὐτὸς αὑτὸν ἀδικεῖν. ἔστι δὲ καὶ τοῦτο ἓν τῶν ἀπο-
5 ρουμένων, εἰ ἐνδέχεται αὐτὸν αὑτὸν ἀδικεῖν. ἔτι ἑκὼν ἄν τις 1136[b] δι' ἀκρασίαν ὑπ' ἄλλου βλάπτοιτο ἑκόντος, ὥστ' εἴη ἂν ἑκὼν ἀδικεῖσθαι. ἢ οὐκ ὀρθὸς ὁ διορισμός, ἀλλὰ προσθετέον τῷ βλάπτειν εἰδότα καὶ ὃν καὶ ᾧ καὶ ὡς τὸ παρὰ τὴν ἐκείνου
6 βούλησιν; βλάπτεται μὲν οὖν τις ἑκὼν καὶ τἄδικα πάσχει, ἀδικεῖται δ' οὐδεὶς ἑκών· οὐδεὶς γὰρ βούλεται, οὐδ' ὁ ἀκρατής, ἀλλὰ παρὰ τὴν βούλησιν πράττει· οὔτε γὰρ βούλεται οὐδεὶς

---

17. ὥσπερ—ἑκούσιον seclusi πᾶν] ἢ πᾶν K^b Γ 20. καὶ K^b: καὶ τὸ vulg. 23. ἔπειτα scripsi: ἐπεὶ codd. 32. ᾧ L^b: ὃ vulg. 33. κἂν K^b: καὶ vulg. 34. αὐτὸς K^b L^b: αὐτὸν M^b Γ ἓν K^b: ἕν τι M^b Γ: om. L^b 1136[b] 4. καὶ ὃν om. K^b L^b τὸ om. K^b M^b

Öyleyse acaba isteyerek haksızlığa uğramak gerçekten olanaklı mıdır olanaksız mıdır, yani her haksızlığın isteyerek yapıldığı gibi, her haksızlığa uğrama, isteyerek mi oluyor? Ve acaba her haksızlığa uğrama hep —şöyle ya da böyle— aynı şekilde mi oluyor [her haksızlık yapmanın isteyerek yapıldığı gibi]; yoksa kimi isteyerek, kimi ise istemeyerek mi oluyor? Hakkını almada da durum aynıdır; nitekim haklı eylemlerin tümü isteyerek yapılır; öyle ki her birinin karşıtıyla durumunun aynı olması akla yakındır, yani haksızlığa uğramak ile hakkını almak ya isteyerek ya da istemeyerek olan bir şey olmalı. Gene de hakkını almak sözkonusu olduğunda, her hakkını almanın isteyerek olması garip gibi gelebilir: Nitekim kimileri istemedikleri halde hakettiklerini alıyorlar. Biri şunu da sorabilir: Haksızlık gören herkes gerçekten mi haksızlık görüyor, yoksa haksızlık görmekte de durum aynı haksızlık yapmaktaki gibi midir? Çünkü her ikisinde de haklı olanlardan pay almanın rastlantısal olması olanaklıdır; o halde haksızlıklarda da aynı şekilde olacağı açıktır; çünkü haksız şeyler yapmak ile haksızlık etmek ve haksızlığa uğramak ile haksızlık görmek aynı şey değildir. Haklı eylemde bulunmak ve hakkını almak konusunda da durum aynıdır; çünkü haksızlık yapan bir kişi olmaksızın haksızlık görmek ya da haklı eylemde bulunan biri olmaksızın hakkını almak olanaksızdır. O halde eğer genel olarak haksızlık yapmak, birinin isteyerek zarar vermesi [demek] ise ve isteyerek zarar vermek zarar verdiği kişiyi, aracı ve şekli bilmek demekse, kendine egemen olmayan kişi de bilerek kendine zarar veriyorsa, bu, isteyerek haksızlık görmek, hattâ kendi kendine isteyerek haksızlık yapmak olanaklıdır, demektir. "Kendi kendine haksızlık etmek olanaklı mıdır?" sorusu da tartışma konularından biridir. Ayrıca biri kendine egemen olamamaktan dolayı, isteyerek zarar vermek isteyen birinden zarar görürse, bu isteyerek zarar görmek olur. Yoksa bu belirlememiz doğru değil midir? Ve "kime, ne ile ve nasıl zarar verildiğini bilme"ye "öteki kişinin istememesine rağmen"i de eklemek mi gerekiyor? Demek ki bir insan isteyerek zarar görebilir ve haksızlığa uğrayabilir, ama hiç kimse isteyerek haksızlık görmez; çünkü hiç kimse bunu istemez –kendine egemen olmayan kişi bile–, ama isteği dışında davranır; nitekim hiç kimse erdemli olmadığını düşündüğü

ὃ μὴ οἴεται εἶναι σπουδαῖον, ὅ τε ἀκρατὴς οὐχ ἃ οἴεται δεῖν πράττειν πράττει. ὁ δὲ τὰ αὑτοῦ διδούς, ὥσπερ Ὅμηρός φησι 7
δοῦναι τὸν Γλαῦκον τῷ Διομήδει "χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων," οὐκ ἀδικεῖται· ἐπ' αὐτῷ γάρ ἐστι τὸ διδόναι, τὸ δ' ἀδικεῖσθαι οὐκ ἐπ' αὐτῷ, ἀλλὰ τὸν ἀδικοῦντα δεῖ ὑπάρχειν. περὶ μὲν οὖν τοῦ ἀδικεῖσθαι, ὅτι οὐχ ἑκούσιον, 8
δῆλον.

Ἔτι δ' ὧν προειλόμεθα δύ' ἔστιν εἰπεῖν, πότερόν ποτ' ἀδικεῖ ὁ νείμας παρὰ τὴν ἀξίαν τὸ πλέον ἢ ὁ ἔχων, καὶ εἰ ἔστιν αὐτὸν αὑτὸν ἀδικεῖν. εἰ γὰρ ἐνδέχεται τὸ πρότερον 9
λεχθὲν καὶ ὁ διανέμων ἀδικεῖ ἀλλ' οὐχ ὁ ἔχων τὸ πλέον, εἴ τις πλέον αὑτοῦ ἑτέρῳ νέμει εἰδὼς καὶ ἑκών, οὗτος αὐτὸς αὑτὸν ἀδικεῖ· ὅπερ δοκοῦσιν οἱ μέτριοι ποιεῖν· ὁ γὰρ ἐπιεικὴς ἐλαττωτικός ἐστιν. ἢ οὐδὲ τοῦτο ἁπλοῦν; ἑτέρου γὰρ ἀγαθοῦ, εἰ ἔτυχεν, πλεονεκτεῖ, οἷον δόξης ἢ τοῦ ἁπλῶς καλοῦ. ἔτι λύεται κατὰ τὸν διορισμὸν τοῦ ἀδικεῖν· οὐδὲν γὰρ παρὰ τὴν αὑτοῦ πάσχει βούλησιν, ὥστε οὐκ ἀδικεῖται διά γε τοῦτο, ἀλλ' εἴπερ, βλάπτεται μόνον. φανερὸν δὲ ὅτι καὶ ὁ διανέ- 10
μων ἀδικεῖ, ἀλλ' οὐχ ὁ τὸ πλέον ἔχων ἀεί· οὐ γὰρ ᾧ τὸ ἄδικον ὑπάρχει ἀδικεῖ, ἀλλ' ᾧ τὸ ἑκόντα τοῦτο ποιεῖν· τοῦτο δ' ὅθεν ἡ ἀρχὴ τῆς πράξεως, ἥ ἐστιν ἐν τῷ διανέμοντι ἀλλ' οὐκ ἐν τῷ λαμβάνοντι. ἔτι ἐπεὶ πολλαχῶς τὸ ποιεῖν 11
λέγεται, καὶ ἔστιν ὡς τὰ ἄψυχα κτείνει καὶ ἡ χεὶρ καὶ ὁ οἰκέτης ἐπιτάξαντος, οὐκ ἀδικεῖ μέν, ποιεῖ δὲ τὰ ἄδικα. ἔτι εἰ μὲν ἀγνοῶν ἔκρινεν, οὐκ ἀδικεῖ κατὰ τὸ νομικὸν δί- 12
καιον οὐδ' ἄδικος ἡ κρίσις ἐστίν, ἔστι δ' ὡς ἄδικος· ἕτερον γὰρ τὸ νομικὸν δίκαιον καὶ τὸ πρῶτον· εἰ δὲ γινώσκων ἔκρι-

---

8. τε K^b: δὲ vulg. οὐχ ἃ K^b: ὃ οὐκ vulg. 16. ἀξίαν πλέον ἔχων K^b 19. αὑτοῦ ἑτέρῳ K^b: ἑτέρῳ ἢ αὑτῷ vulg. οὗτος om. K^b Γ 21. ἁπλῶς Γ 22. ἐπλεονέκτει M^b 25. καὶ ὅτι M^b Γ 27. ἄδικον ἔχω ὑπάρχει pr. K^b 31. μὲν οὐκ ἀδικεῖ K^b

şeyi istemez, kendine egemen olmayan insan da yapmaması gerektiğini düşündüğü şeyleri yapar. Kendine ait olanlardan veren, —Homeros'un, Glaukos'un Diomedes'e verdiğini söylediği şekilde, yani "bronz silâhlara karşılık altın silâh, yüz inek karşılığında da dokuz inek"[54] veren— haksızlık görmüş olmaz; çünkü vermek onun elinde olan bir şeydir. Oysa haksızlık görmek onun elinde değildir; haksızlık yapan birinin de olması gerekir. O halde haksızlık görmenin isteyerek olan bir şey olmadığı açık.

Seçtiklerimizden sözünü edeceğimiz iki konu daha kalıyor: Lâyık olduğundan daha fazlasını veren mi, yoksa sahip olan mı haksızlık eder? Ve kendi kendine haksızlık edilebilir mi? Nitekim eğer daha önce söylediğimiz şey kabul edilecek olursa ve daha fazlasına sahip olan değil, onu veren haksızlık ediyorsa, eğer biri bilerek ve isteyerek kendinden daha çok başkasına veriyorsa, o kendi kendine haksızlık ediyor demektir; ki bunu alçakgönüllülerin yaptığı düşünülüyor. Çünkü doğru insan daha az almak eğilimindedir. Yoksa bu da böylesine basit ve sıradan değil mi? Çünkü böyle bir insan da bir başka iyi şeyden daha fazla alır, sözgelişi ünden ya da genel olarak güzel olandan. Ama yine de, haksızlık yapmanın tanımlanmasına bakılırsa, bu sorun çözülür; çünkü o, istemesine aykırı olarak hiçbir şeye uğramıyor; dolayısıyla bunun yüzünden haksızlığa uğramaz, olsa olsa yalnızca zarar görür. Öyleyse açıktır ki, daha fazlayı veren her zaman haksızlık ediyor, daha fazlaya sahip olan ise her zaman etmiyor; çünkü haksız olana sahip olan değil, isteyerek buna sahip olan haksızlık ediyor; bu da eylemin başlangıcı olanda bulunur, bu başlangıç da alanda değil paylaştırandadır. Ayrıca 'yapmak'tan birkaç bağlamda sözedildiğine göre ve bağlamına bakılırsa, cansız şeylerin de, elin de, efendisinin emri yüzünden kölenin de öldürmesi olanaklı olduğuna göre, bunlar haksızlık etmiyor, haksız şeyler yapıyor. Ayrıca bilmeden karar vermişse, yasal adalete göre haksızlık yapmış sayılmaz, karar da adaletsiz değildir; ama adaletsiz gibi görünür; çünkü yasal adalet asıl adaletten farklıdır; oysa eğer bilerek

νεν ἀδίκως, πλεονεκτεῖ καὶ αὐτὸς ἢ χάριτος ἢ τιμωρίας. 1137
13 ὥσπερ οὖν κἂν εἴ τις μερίσαιτο τοῦ ἀδικήματος, καὶ ὁ διὰ
ταῦτα κρίνας ἀδίκως πλέον ἔχει· καὶ γὰρ ἐπ' ἐκείνῳ τὸν
14 ἀγρὸν κρίνας οὐκ ἀγρὸν ἀλλ' ἀργύριον ἔλαβεν. Οἱ δ' 13
ἄνθρωποι ἐφ' ἑαυτοῖς οἴονται εἶναι τὸ ἀδικεῖν· διὸ καὶ τὸ 5
δίκαιον εἶναι ῥᾴδιον. τὸ δ' οὐκ ἔστιν· συγγενέσθαι μὲν γὰρ τῇ
τοῦ γείτονος καὶ πατάξαι τὸν πλησίον καὶ δοῦναι τῇ χειρὶ
τὸ ἀργύριον ῥᾴδιον καὶ ἐπ' αὐτοῖς, ἀλλὰ τὸ ὡδὶ ἔχοντας
15 ταῦτα ποιεῖν οὔτε ῥᾴδιον οὔτ' ἐπ' αὐτοῖς. ὁμοίως δὲ καὶ τὸ
γνῶναι τὰ δίκαια καὶ τὰ ἄδικα οὐδὲν οἴονται σοφὸν εἶναι, 10
ὅτι περὶ ὧν οἱ νόμοι λέγουσιν οὐ χαλεπὸν συνιέναι (ἀλλ' οὐ
ταῦτ' ἐστὶ τὰ δίκαια ἀλλ' ἢ κατὰ συμβεβηκός)· ἀλλὰ πῶς
πραττόμενα καὶ πῶς νεμόμενα δίκαια, τοῦτο δὴ πλέον ἔρ-
γον ἢ τὰ ὑγιεινὰ εἰδέναι· ἐπεὶ κἀκεῖ μέλι καὶ οἶνον καὶ
ἐλλέβορον καὶ καῦσιν καὶ τομὴν εἰδέναι ῥᾴδιον, ἀλλὰ πῶς 15
δεῖ νεῖμαι πρὸς ὑγίειαν καὶ τίνι καὶ πότε, τοσοῦτον ἔργον
16 ὅσον ἰατρὸν εἶναι. δι' αὐτὸ δὲ τοῦτο καὶ τοῦ δικαίου οἴονται
εἶναι οὐδὲν ἧττον τὸ ἀδικεῖν, ὅτι οὐχ ἧττον ὁ δίκαιος ἀλλὰ
καὶ μᾶλλον δύναιτ' ἂν ἕκαστον πρᾶξαι τούτων· καὶ γὰρ
συγγενέσθαι γυναικὶ καὶ πατάξαι· καὶ ὁ ἀνδρεῖος τὴν 20
ἀσπίδα ἀφεῖναι καὶ στραφεὶς ἐφ' ὁποτεραοῦν τρέχειν. ἀλλὰ
τὸ δειλαίνειν καὶ ἀδικεῖν οὐ τὸ ταῦτα ποιεῖν ἐστί, πλὴν
κατὰ συμβεβηκός, ἀλλὰ τὸ ὡδὶ ἔχοντα ταῦτα ποιεῖν, ὥσ-
περ καὶ τὸ ἰατρεύειν καὶ τὸ ὑγιάζειν οὐ τὸ τέμνειν ἢ μὴ
τέμνειν ἢ φαρμακεύειν ἢ μὴ φαρμακεύειν ἐστίν, ἀλλὰ τὸ 25
17 ὡδί. ἔστι δὲ τὰ δίκαια ἐν τούτοις οἷς μέτεστι τῶν ἁπλῶς
ἀγαθῶν, ἔχουσι δ' ὑπερβολὴν ἐν τούτοις καὶ ἔλλειψιν· τοῖς

1137ª 2. κἂν] καὶ K^b 3. ἐκείνωι K^b: ἐκείνων ὁ vulg. 9. ταυτὸ K^b 13. γενόμενα $K^b M^b$ δὴ scripsi : δὲ codd. 16. εἶναι K^b 17. ἰατροῦ εἶναι. διὰ ταυτὸ K^b 18. οὐχ K^b: οὐθὲν vulg. 22. καὶ] καὶ τὸ M^b 27. δ'] δὲ καὶ M^b Γ ἐν τούτοις om. $K^b I.^b$

haksız karar vermişse, o da, kendine düşen olumlu ya da 1137a
olumsuz[55] karşılıktan daha fazla almış olur, sanki yapılan haksızlığa katılmışcasına; böyle nedenlerle haksızca karar veren insan da daha fazlasına sahip olmuş olur; çünkü karar verme durumunda olup tarla konusunda karar veren, bir tarla değil, para almıştır. İnsanlar haksızlık yapmanın onların elinde olduğunu sanırlar, bunun için de hakkı yerine getirmenin de kolay olduğunu düşünürler. Oysa böyle değil- 5
dir; nitekim komşunun karısıyla düşüp kalkmak, yanındaki birine vurmak, birinin eline para sıkıştırmak kolaydır ve kişilerin elindedir, ama belirli bir huya sahip olan kişiler olarak bunları yapmak ne kolaydır ne de onların elindedir. Aynı şekilde adaletli şeyleri ve adaletsiz olan şeyleri bilmek için hiç de bilge olmak gerekmediğini, çünkü yasaların söz- 10
ettiği şeyleri anlamanın pek güç olmadığını düşünürler (ne var ki adaletli şeyler bunlar değildir, ancak rastlantısal olarak adaletli şeyler oluyorlar); ama eylemler nasıl yapılırsa ve verilen şeyler nasıl verilirse adaletli olacaklar, bunu bilmek sağlığa yararlı şeyleri bilmekten daha büyük bir iştir. Çünkü sağlık konusunda da balı, şarabı, hıyar-ı şembeyi, yak- 15
mayı, kesmeyi bilmek kolaydır; ama sağlık için bunları nasıl, kime, ne zaman vermek ya da yapmak gerektiğini bilmek doktor olmak kadar zor bir iştir. Bu aynı nedenden dolayı, adil insanın adaletli davrandığı gibi adaletsiz de davranabileceğini, çünkü onun her ikisini de aynı şekilde yapabileceğini sanıyorlar: Bir kadınla düşüp kalkabileceğini ya da birisini dövebileceğini; yiğit insanın da kalkanını bırakabile- 20
ceğini ve dönüp herhangi bir yere koşabileceğini sanıyorlar. Oysa korkak olmak ve haksızlık yapmak, bunları sırf yapmak —rastlantısal olarak yapmak— değil, belirli bir huya sahip olarak bunları yapmaktır: Nasıl ki doktorluk yapmak ve iyileştirmek, kesmek ya da kesmemek ve ilâç vermek ya da vermemek değil de, bunu belli bir şekilde yapmaktır. Ada- 25
letli eylemler, genellikle iyileri paylaşanlarla ve bunlardan daha fazla ve daha az almaları sözkonusu olanlarla ilgilidir.

μὲν γὰρ οὐκ ἔστιν ὑπερβολὴ αὐτῶν, οἷον ἴσως τοῖς θεοῖς, τοῖς δ' οὐδὲν μόριον ὠφέλιμον, τοῖς ἀνιάτως κακοῖς, ἀλλὰ πάντα βλάπτει, τοῖς δὲ μέχρι του· διὰ τοῦτ' ἀνθρώπινόν ἐστιν.

14 Περὶ δὲ ἐπιεικείας καὶ τοῦ ἐπιεικοῦς, πῶς ἔχει ἡ μὲν Χ. ἐπιείκεια πρὸς δικαιοσύνην τὸ δ' ἐπιεικὲς πρὸς τὸ δίκαιον, ἐχόμενόν ἐστιν εἰπεῖν. οὔτε γὰρ ὡς ταὐτὸν ἁπλῶς οὔθ' ὡς ἕτερον τῷ γένει φαίνεται σκοπουμένοις· καὶ ὁτὲ μὲν τὸ ἐπιεικὲς ἐπαινοῦμεν καὶ ἄνδρα τὸν τοιοῦτον, ὥστε καὶ ἐπὶ τὰ 1137b ἄλλα ἐπαινοῦντες μεταφέρομεν ἀντὶ τοῦ ἀγαθοῦ, τὸ ἐπιεικέστερον ὅτι βέλτιον δηλοῦντες· ὁτὲ δὲ τῷ λόγῳ ἀκολουθοῦσι φαίνεται ἄτοπον εἰ τὸ ἐπιεικὲς παρὰ τὸ δίκαιόν τι ὂν ἐπαινετόν ἐστιν· ἢ γὰρ τὸ δίκαιον οὐ σπουδαῖον, ἢ τὸ ἐπιεικὲς οὐ δίκαιον, εἰ ἄλλο· ἢ εἰ ἄμφω σπουδαῖα, ταὐτόν ἐστιν. ἡ μὲν 2 οὖν ἀπορία σχεδὸν συμβαίνει διὰ ταῦτα περὶ τὸ ἐπιεικές, ἔχει δ' ἅπαντα τρόπον τινὰ ὀρθῶς καὶ οὐδὲν ὑπεναντίον ἑαυτοῖς· τό τε γὰρ ἐπιεικὲς δικαίου τινὸς ὂν βέλτιόν ἐστι δίκαιον, καὶ οὐχ ὡς ἄλλο τι γένος ὂν βέλτιόν ἐστι τοῦ δικαίου. ταὐτὸν ἄρα δίκαιον καὶ ἐπιεικές, καὶ ἀμφοῖν σπουδαίοιν ὄντοιν κρεῖττον τὸ ἐπιεικές. ποιεῖ δὲ τὴν ἀπορίαν ὅτι τὸ ἐπι- 3 εικὲς δίκαιον μέν ἐστιν, οὐ τὸ κατὰ νόμον δέ, ἀλλ' ἐπανόρθωμα νομίμου δικαίου. αἴτιον δ' ὅτι ὁ μὲν νόμος καθόλου πᾶς, 4 περὶ ἐνίων δ' οὐχ οἷόν τε ὀρθῶς εἰπεῖν καθόλου. ἐν οἷς οὖν ἀνάγκη μὲν εἰπεῖν καθόλου, μὴ οἷόν τε δὲ ὀρθῶς, τὸ ὡς ἐπὶ τὸ πλέον λαμβάνει ὁ νόμος, οὐκ ἀγνοῶν τὸ ἁμαρτανόμενον. καὶ ἔστιν οὐδὲν ἧττον ὀρθός· τὸ γὰρ ἁμάρτημα οὐκ ἐν τῷ νόμῳ οὐδ' ἐν τῷ νομοθέτῃ ἀλλ' ἐν τῇ φύσει τοῦ πράγματός ἐστιν· εὐθὺς γὰρ τοιαύτη ἡ τῶν πρακτῶν ὕλη ἐστίν. ὅταν 5

---

29. ἀνιάτοις καὶ κακοῖς $L^b M^b \Gamma$ 30. διὰ τοῦτ'] τοῦτο δὲ Γ 1137b 4. οὐ δίκαιον om. Γ 5. εἰ ἄλλο] εἶναι ἄλλο K^b: ἄλλο Γ ταὐτόν om. pr. K^b 9. ὂν om. K^b 13. νομικοῦ Coraes δικαίου νομίμου $K^b L^b \Gamma$ 17. ὀρθός Γ: ὀρθῶς codd. 19. πρακτέων K^b

Kimileri için fazla diye bir şey olmaz, sözgelişi tanrılar için; kimileri için de —sözgelişi tedavi edilmez kötü insanlar için— bir nebze bir şey bile yararlı değildir, tersine her şey onlar için zararlıdır; kimileri içinse iyiler belli bir noktaya kadar yararlıdır; bu nedenle de adalet insanlara özgü bir konudur.

Doğruluk ve doğru insan konusuna gelince: Doğruluk ile adaletin ve doğru olan ile adaletli olan arasındaki ilişkinin nasıl olduğunu belirtmek kalıyor geriye. Çünkü düşündüğümüz zaman, ne genel anlamda aynı şeydirler, ne de cinsleri pek farklı görünüyor; ve kimi zaman doğruyu ve doğru insanı öyle övüyoruz ki, başka şeyleri överken de bu sözcüğü iyi yerine kullanmakla, daha doğru olanın daha iyi olduğunu da belirtmiş oluyoruz; kimi zaman da, akıl yürütme sonucu, 'doğru' 'adaletli olan'dan farklı bir şey olduğuna göre, onun övülecek bir şey olması garip görünür; çünkü adaletli olandan farklı bir şeyse, ya adaletli olan erdemli değildir ya da doğru olan adaletli değildir; yok her ikisi de erdemli ise aynı şeydirler. İşte 'doğru' konusunda çıkmaza götüren aşağı yukarı bunlardır; öte yandan bütün bunlar bir anlamda yerindedir ve aralarında bir çelişki yoktur: Çünkü doğru olan, belirli bir adaletli olandan daha iyi olsa bile, adaletli olandan başka bir cins altında bulunan bir şey olarak adaletli olandan daha iyi bir şey değildir. O halde doğru ile adaletli olan aynı şeydir; ve her ikisi de erdemli şeyler olmakla birlikte, doğru olan daha iyidir. Bu çıkmaza götüren, doğru olanın adaletli olması, ama yasaya uygun olan adaletli olmamaması; yasaya uygun olanı düzelten adaletli olmasıdır. Bunun nedeni, her yasanın genel olması, oysa kimi konulardan genellik düzeyinde sözetmenin olanaksız olmasıdır. Demek ki, genel olarak konuşmanın zorunlu olduğu ama bunu doğru yapmanın olanaksız olduğu durumlarda yasa, çoğu zaman olanı hesaba katar, yaptığı yanlışı bile bile. Ancak bu yüzden yasa daha az doğru olmuyor; çünkü hata yasada ya da yasa koyucuda değil, konu edilenin doğal yapısındadır; çünkü eylemle ilgili konuların malzemesi doğrudan doğruya öyledir ki,

οὖν λέγῃ μὲν ὁ νόμος καθόλου, συμβῇ δ' ἐπὶ τούτου παρὰ τὸ καθόλου, τότε ὀρθῶς ἔχει, ἃ παραλείπει ὁ νομοθέτης καὶ ἥμαρτεν ἁπλῶς εἰπών, ἐπανορθοῦν τὸ ἐλλειφθέν, ὃ κἂν ὁ νομοθέτης αὐτὸς ἂν εἶπεν ἐκεῖ παρών, καὶ εἰ ἤδει, ἐνο-
6 μοθέτησεν. διὸ δίκαιον μέν ἐστι, καὶ βέλτιόν τινος δικαίου, οὐ τοῦ ἁπλῶς δὲ ἀλλὰ τοῦ διὰ τὸ ἁπλῶς ἁμαρτήματος. καὶ ἔστιν αὕτη ἡ φύσις ἡ τοῦ ἐπιεικοῦς, ἐπανόρθωμα νόμου, ᾗ ἐλλείπει διὰ τὸ καθόλου. τοῦτο γὰρ αἴτιον καὶ τοῦ μὴ πάντα κατὰ νόμον εἶναι, ὅτι περὶ ἐνίων ἀδύνατον θέσθαι
7 νόμον, ὥστε ψηφίσματος δεῖ. τοῦ γὰρ ἀορίστου ἀόριστος καὶ ὁ κανὼν ἐστιν, ὥσπερ καὶ τῆς Λεσβίας οἰκοδομίας ὁ μολί-
βδινος κανών· πρὸς γὰρ τὸ σχῆμα τοῦ λίθου μετακινεῖται καὶ οὐ μένει ὁ κανών, καὶ τὸ ψήφισμα πρὸς τὰ πράγματα.
8 τί μὲν οὖν ἐστὶ τὸ ἐπιεικές, καὶ ὅτι δίκαιον καὶ τινὸς βέλ-
τιον δικαίου, δῆλον. φανερὸν δ' ἐκ τούτου καὶ ὁ ἐπιεικὴς τίς ἐστιν· ὁ γὰρ τῶν τοιούτων προαιρετικὸς καὶ πρακτικός, καὶ ὁ μὴ ἀκριβοδίκαιος ἐπὶ τὸ χεῖρον ἀλλ' ἐλαττωτικός, καίπερ 1138ᵃ
ἔχων τὸν νόμον βοηθόν, ἐπιεικής ἐστι, καὶ ἡ ἕξις αὕτη ἐπι-
εικεια, δικαιοσύνη τις οὖσα καὶ οὐχ ἑτέρα τις ἕξις.

XI. Πότερον δ' ἐνδέχεται ἑαυτὸν ἀδικεῖν ἢ οὔ, φανερὸν ἐκ τῶν εἰρημένων. τὰ μὲν γάρ ἐστι τῶν δικαίων τὰ κατὰ πᾶ-
2 σαν ἀρετὴν ὑπὸ τοῦ νόμου τεταγμένα, οἷον οὐ κελεύει ἀπο-
κτιννύναι ἑαυτὸν ὁ νόμος, ἃ δὲ μὴ κελεύει, ἀπαγορεύει. ἔτι ὅταν παρὰ τὸν νόμον βλάπτῃ μὴ ἀντιβλάπτων ἑκών, ἀδι-
κεῖ, ἑκὼν δὲ ὁ εἰδὼς καὶ ὃν καὶ ᾧ· ὁ δὲ δι' ὀργὴν ἑαυτὸν σφάττων ἑκὼν τοῦτο δρᾷ παρὰ τὸν ὀρθὸν λόγον, ὃ οὐκ ἐᾷ

---

23. αὐτὸς K^b M^b: οὕτως Γ: αὐτὸς οὕτως L^b ἂν om. K^b εἶπεν K^b: εἴποι vulg. ἐκεῖ om. K^b post ἐνομοθέτησεν add. ἂν L^b M^b 28. τινων K^b 30. οἰκοδομίας K^b: οἰκοδομῆς vulg. 33. τινὸς Γ: τίνος codd. 1138ᵃ 9. ᾗ] ὡς M^b Γ 10. ὀρθὸν] αὐτὸν K^b νόμον M^b Γ

yasanın dile getirdiği genel olana aykırı bir şey olduğu za- 20
man, doğru olan,yasa koyucunun genel olarak konuşmakla atladığı ve yanıldığı yerde eksik olanı düzeltmek, yasa koyucunun eğer kendisi orada bulunsaydı, söyleyeceği şeyi söylemek ve eğer bilseydi, yasasına koyacağı şeyi yapmaktır. Bunun için doğru, adaletli bir şeydir ve bir tür adaletten daha iyidir, ama genel olarak adaletten değil; genel olarak adaletin yanılgıya götürdüğü yerde daha iyidir. Ve doğru- 25
nun özü şudur: Genel olması nedeniyle yetersiz kaldığı yerde yasayı düzeltmek. Bunun nedeni ise her şeyin yasaya göre olmaması, bazı konularda yasa konamaması, dolayısıyla bir kararnamenin gerekmesidir; çünkü belirlenmemiş olanın ölçüsü de belirlenmemiştir, tıpkı Lesbos yapı tekniğinde 30
kullanılan kurşun ölçüsü gibi; nitekim o aynı kalmadığı, taşın şekline girdiği gibi, kararnâme de konu edilene uygun çıkarılır. O halde doğrunun ne olduğu, adaletli olduğu ve hangi adaletten daha iyi olduğu açık. Bundan da doğru kişinin kim olduğu belli; nitekim böyle şeyleri tercih ederek ya- 35
pan ve yasa ona yardımcı olduğu halde olumsuz yönde 1138a
adaleti harfi harfine yerine getirmeyen, daha azıyla yetinen doğru insandır. Bu huy ise doğruluktur, yani bir tür adalettir ve ondan farklı olmayan bir huydur.

Söylediklerimizden, birinin kendine haksızlık edip edemeyeceği de açığa çıkıyor. Nitekim adaletli şeylerden bir kıs- 5
mı tüm erdeme uygun yasa tarafından belirlenmiş olanlardır; örneğin yasa kendini öldürmeyi buyurmaz, teşvik etmediklerini ise yasaklar. Ayrıca karşılık vermek sözkonusu olmadan yasaya aykırı olarak isteyerek zarar veren kişi —kime ne ile zarar verdiğini bilerek zarar veren— haksızlık ediyor. Oysa öfkeyle kendi boğazını kesen, yasanın izin vermediğini isteyerek ama sağ akla aykırı bir şekilde yapıyor. Demek ki, 10

ὁ νόμος· ἀδικεῖ ἄρα. ἀλλὰ τίνα; ἢ τὴν πόλιν, αὐτὸν δ' οὔ; 3
ἑκὼν γὰρ πάσχει, ἀδικεῖται δ' οὐδεὶς ἑκών. διὸ καὶ ἡ πόλις ζημιοῖ, καί τις ἀτιμία πρόσεστι τῷ ἑαυτὸν διαφθείραντι ὡς τὴν πόλιν ἀδικοῦντι. ἔτι καθ' ὃ ἄδικος μόνον ὁ ἀδικῶν 4
καὶ μὴ ὅλως φαῦλος, οὐκ ἔστιν ἀδικῆσαι ἑαυτόν (τοῦτο γὰρ ἄλλο ἐκείνου· ἔστι γάρ πως ὁ ἄδικος οὕτω πονηρὸς ὥσπερ ὁ δειλός, οὐχ ὡς ὅλην ἔχων τὴν πονηρίαν, ὥστ' οὐδὲ κατὰ ταύτην ἀδικεῖ)· ἅμα γὰρ ἂν τῷ αὐτῷ εἴη ἀφῃρῆσθαι καὶ προσκεῖσθαι τὸ αὐτό· τοῦτο δὲ ἀδύνατον, ἀλλ' ἀεὶ ἐν πλείοσιν ἀνάγκη εἶναι τὸ δίκαιον καὶ τὸ ἄδικον. ἔτι δὲ ἑκούσιόν 5
τε καὶ ἐκ προαιρέσεως καὶ πρότερον· ὁ γὰρ διότι ἔπαθε καὶ τὸ αὐτὸ ἀντιποιῶν οὐ δοκεῖ ἀδικεῖν· αὐτὸς δ' αὑτόν, ταὐτὰ ἅμα καὶ πάσχει καὶ ποιεῖ. ἔτι εἴη ἂν ἑκόντα ἀδικεῖσθαι. πρὸς δὲ τούτοις, ἄνευ τῶν κατὰ μέρος ἀδικημάτων 6
οὐδεὶς ἀδικεῖ, μοιχεύει δ' οὐδεὶς τὴν ἑαυτοῦ οὐδὲ τοιχωρυχεῖ τὸν ἑαυτοῦ τοῖχον οὐδὲ κλέπτει τὰ αὑτοῦ. ὅλως δὲ λύεται τὸ αὐτὸν ἀδικεῖν καὶ κατὰ τὸν διορισμὸν τὸν περὶ τοῦ ἑκουσίως ἀδικεῖσθαι. φανερὸν δὲ καὶ ὅτι ἄμφω μὲν φαῦλα, 7
καὶ τὸ ἀδικεῖσθαι καὶ τὸ ἀδικεῖν (τὸ μὲν γὰρ ἔλαττον τὸ δὲ πλέον ἔχειν ἐστὶ τοῦ μέσου καὶ ὥσπερ ὑγιεινὸν μὲν ἐν ἰατρικῇ, εὐεκτικὸν δὲ ἐν γυμναστικῇ)· ἀλλ' ὅμως χεῖρον τὸ ἀδικεῖν· τὸ μὲν γὰρ ἀδικεῖν μετὰ κακίας καὶ ψεκτόν, καὶ κακίας ἢ τῆς τελείας καὶ ἁπλῶς ἢ ἐγγύς (οὐ γὰρ ἅπαν τὸ ἑκούσιον μετὰ ἀδικίας), τὸ δ' ἀδικεῖσθαι ἄνευ κακίας καὶ ἀδικίας. καθ' αὐτὸ μὲν οὖν τὸ ἀδικεῖσθαι ἧττον φαῦλον, 8
1138ᵇ κατὰ συμβεβηκὸς δ' οὐδὲν κωλύει μεῖζον εἶναι κακόν.

---

14. *μόνον ὁ* Lambinus: *ὁ μόνον* codd. 15. *ὅλως*] *ἁπλῶς* K^b 18. *τὸ αὐτὸ* L^b 19. *τῷ αὐτῷ* L^b 22. *ταὐτὰ*] *ταῦτα* K^b: *τὰ αὐτὰ* vulg. 27. *καὶ* add. K^b 28. *ἀκουσίως* Lambinus 30. *μέσου* ⟨*τὸ δὲ δικαιοπραγεῖν μέσον*⟩ Rassow 33. *καὶ* om. K^b *πᾶν* K^b 34. *ἀδικίας*] *κακίας* Rassow 1138ᵇ 1. *εἶναι* om. $K^b L^b \Gamma$

haksızlık yapıyor. Kime? Yoksa kendine değil de kente mi? Çünkü isteyerek acı çekiyor; oysa hiç kimse isteyerek haksızlığa uğramaz. Bunun için kent de onu cezalandırır; kente haksızlık etti diye, kendini öldüren kişinin başına bir onursuzluk gelir. Öte yandan haksızlık yapanın yalnızca haksız olduğuna, tümüyle kötü olmadığına bakılırsa, kendine haksızlık etmek olanaksızdır (çünkü bu çeşit haksızlık ötekinden farklıdır; nitekim korkak gibi, haksız kişi de bir bakıma kötü insandır, tümüyle kötü insan değil; dolayısıyla tüm kötülüğe göre haksızlık yapmıyor); yoksa bu, aynı şeyin aynı zamanda aynı insandan alınması ve aynı insana eklenmesi olurdu. Bu ise olanaksızdır, tersine hak ve haksızlığın her zaman birden çok kişiler arasında olması zorunludur. Ayrıca bunlar isteyerek oluyor, tercihe dayanıyor ve önce oluyor; nitekim daha önce onun başına geleni karşılık olarak yapanın haksızlık yaptığı düşünülmüyor; kendi kendine haksızlık yapan durumunda ise, o, aynı şeylere hem uğramış hem de onları yapmış oluyor. Ayrıca isteyerek haksızlığa uğramak olanaklı olmuş oluyor. Bunlara ek olarak, haksız eylemler yapmaksızın hiç kimse 'haksızlık' yapmaz; hiç kimse kendi karısıyla 'zina' yapmaz, kendi evini 'soymaz' ya da kendine ait şeyleri 'çalmaz'. Kendine haksızlık yapma sorunu ise isteyerek haksızlık görme konusunun belirlenmesine bakarak tamamen çözülür. Gerek haksızlık görmenin gerekse haksızlık yapmanın, her ikisinin de, kötü olduğu açık (çünkü biri ortadan daha az, öteki daha fazladır; orta ise tıpta sağlığa götüren, beden eğitiminde de sağlıklı olmaya götüren ne ise, burada da odur); gene de haksızlık yapmak daha kötüdür; çünkü haksızlık yapmak kötülükle birlikte olur ve kınanacak bir şeydir, hem de tam kötülükle ya da genellikle kötülükle ya da buna yakın olanla birlikte olur (çünkü her isteyerek olan şey haksızlıkla birlikte olmaz); haksızlık görmek ise kötülük ve adaletsizlikten uzaktır. O halde kendi başına haksızlık görmenin kendisi daha az kötü bir şeydir, ama rastlantısal olarak daha büyük bir kötülük olmasına hiçbir engel yoktur. 1138b

ἀλλ' οὐδὲν μέλει τῇ τέχνῃ, ἀλλὰ πλευρῖτιν λέγει μείζω νόσον προσπταίσματος· καίτοι γένοιτ' ἄν ποτε θάτερον κατὰ συμβεβηκός, εἰ προσπταίσαντα διὰ τὸ πεσεῖν συμβαίη
9 ὑπὸ τῶν πολεμίων ληφθῆναι ἢ ἀποθανεῖν. κατὰ μετα- 5
φορὰν δὲ καὶ ὁμοιότητα ἔστιν οὐκ αὐτῷ πρὸς αὐτὸν δίκαιον ἀλλὰ τῶν αὐτοῦ τισίν, οὐ πᾶν δὲ δίκαιον ἀλλὰ τὸ δεσποτικὸν ἢ τὸ οἰκονομικόν. ἐν τούτοις γὰρ τοῖς λόγοις διέστηκε τὸ λόγον ἔχον μέρος τῆς ψυχῆς πρὸς τὸ ἄλογον· εἰς ἃ δὴ βλέπουσι καὶ δοκεῖ εἶναι ἀδικία πρὸς αὐτόν, ὅτι ἐν 10
τούτοις ἔστι πάσχειν τι παρὰ τὰς ἑαυτῶν ὀρέξεις· ὥσπερ οὖν ἄρχοντι καὶ ἀρχομένῳ εἶναι πρὸς ἄλληλα δίκαιόν τι καὶ
10 τούτοις. περὶ μὲν οὖν δικαιοσύνης καὶ τῶν ἄλλων, τῶν ἠθικῶν ἀρετῶν, διωρίσθω τὸν τρόπον τοῦτον.

Z.

Ἐπεὶ δὲ τυγχάνομεν πρότερον εἰρηκότες ὅτι δεῖ τὸ μέσον αἱρεῖσθαι, μὴ τὴν ὑπερβολὴν μηδὲ τὴν ἔλλειψιν, τὸ δὲ μέσον ἐστὶν ὡς ὁ λόγος ὁ ὀρθὸς λέγει, τοῦτο διέλωμεν. 20
ἐν πάσαις γὰρ ταῖς εἰρημέναις ἕξεσι, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων, ἔστι τις σκοπὸς πρὸς ὃν ἀποβλέπων ὁ τὸν λόγον ἔχων ἐπιτείνει καὶ ἀνίησιν, καί τις ἔστιν ὅρος τῶν μεσοτήτων, ἃς μεταξύ φαμεν εἶναι τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως,
2 οὔσας κατὰ τὸν ὀρθὸν λόγον. ἔστι δὲ τὸ μὲν εἰπεῖν οὕτως 25
ἀληθὲς μέν, οὐθὲν δὲ σαφές· καὶ γὰρ ἐν ταῖς ἄλλαις ἐπιμελείαις, περὶ ὅσας ἐστὶν ἐπιστήμη, τοῦτ' ἀληθὲς μὲν εἰπεῖν, ὅτι οὔτε πλείω οὔτε ἐλάττω δεῖ πονεῖν οὐδὲ ῥᾳθυμεῖν, ἀλλὰ τὰ μέσα καὶ ὡς ὁ ὀρθὸς λόγος· τοῦτο δὲ μόνον ἔχων ἄν

---

5. ἢ K^b: καὶ $L^b M^b \Gamma$ 6. οὐχ αὑτῷ $K^b M^e$ 9. μέρος om. K^b 11. ἑαυτοῦ Γ 19. μὴ $K^v \Gamma$: καὶ μὴ vulg. 21. πράξεσι K^b 27. μέν om. K^b

Ne var ki, sözkonusu sanatı ilgilendirmez —sözgelişi doktorluk sanatı, akciğer hastalığının düşüp yaralanmadan daha önemli olduğunu söyler, her ne kadar ikincisi rastlantısal olarak daha kötü olabilirse de; örneğin birinin, ayağının takılıp düşmesi sonucu düşmanlar tarafından yakalanması ya da öldürülmesi durumunda olduğu gibi. Kendine karşı değil de, kendine ait bazı şeylerde eğretileme yoluyla ve benzerliğe göre adaletli olmak da olanaklı görünüyor; bu ise genel olarak adalette değil de efendi ve aile hukukunda olur. Nitekim bu tartışmalarda ruhun akla sahip yanı, akla sahip olmayan yanının karşısına konuyor; bunlara bakanlar, kendine karşı haksızlığın olabileceğini düşünüyor; çünkü bunlarda kendi arzuladıkları dışında bir şeye uğramaları olanaklı; yöneten ile yöneticiler arasındaki gibi, bunlar arasında da bir hukukun olduğunu düşünüyorlar. Böylece adalet ve öteki karakter erdemleri konusunu da bu şekilde belirlemiş olduk.

ALTINCI KİTAP

Madem aşırılığı ya da eksikliği değil, ortayı tercih etmek gerektiğini ve ortanın sağ aklın gösterdiği gibi olduğunu söyledik, bunu ele alalım: öteki konularda da olduğu gibi, sözünü ettiğimiz bütün huylarda, kişinin akla sahip olarak, onu gözetip onun için çaba gösterdiği ve onu aradığı bir amaç var ve aşırılık ile eksiklik arasında bulunduğunu söylediğimiz sağ akla uygun olan orta yolların bir sınırı var. Bu şekilde söylemek doğru ama hiç açık değil. Kendileri hakkında bir bilim olan öteki çalışmalarda da şunu söylemek doğru: gerektiğinden daha çok ya da daha az yorulmamalı veya savsamamalı, ortayı bulmalı ve sağ akla uymalı. Ne ki, yalnızca bunu bilen

τις οὐδὲν ἂν εἰδείη πλέον, οἷον ποία δεῖ προσφέρεσθαι πρὸς τὸ σῶμα, εἴ τις εἴπειεν ὅτι ὅσα ἡ ἰατρικὴ κελεύει καὶ ὡς ὁ ταύτην ἔχων. διὸ δεῖ καὶ περὶ τὰς τῆς ψυχῆς ἕξεις μὴ μόνον ἀληθῶς εἶναι τοῦτ' εἰρημένον, ἀλλὰ καὶ διωρισμένον τίς ἐστιν ὁ ὀρθὸς λόγος καὶ τούτου τίς ὅρος.

2 Τὰς δὴ τῆς ψυχῆς ἀρετὰς διελόμενοι τὰς μὲν εἶναι τοῦ ἤθους ἔφαμεν τὰς δὲ τῆς διανοίας. περὶ μὲν οὖν τῶν ἠθικῶν διειλήλυθαμεν, περὶ δὲ τῶν λοιπῶν, περὶ ψυχῆς πρῶτον εἰπόντες, λέγωμεν οὕτως. πρότερον μὲν οὖν ἐλέχθη δύ' εἶναι μέρη τῆς ψυχῆς, τό τε λόγον ἔχον καὶ τὸ ἄλογον· νῦν δὲ περὶ τοῦ λόγου ἔχοντος τὸν αὐτὸν τρόπον διαιρετέον. καὶ ὑποκείσθω δύο τὰ λόγον ἔχοντα, ἓν μὲν ᾧ θεωροῦμεν τὰ τοιαῦτα τῶν ὄντων ὅσων αἱ ἀρχαὶ μὴ ἐνδέχονται ἄλλως ἔχειν, ἓν δὲ ᾧ τὰ ἐνδεχόμενα· πρὸς γὰρ τὰ τῷ γένει ἕτερα καὶ τῶν τῆς ψυχῆς μορίων ἕτερον τῷ γένει τὸ πρὸς ἑκάτερον πεφυκός, εἴπερ καθ' ὁμοιότητά τινα καὶ οἰκειότητα ἡ γνῶσις ὑπάρχει αὐτοῖς. λεγέσθω δὲ τούτων τὸ μὲν ἐπιστημονικὸν τὸ δὲ λογιστικόν· τὸ γὰρ βουλεύεσθαι καὶ λογίζεσθαι ταὐτόν, οὐδεὶς δὲ βουλεύεται περὶ τῶν μὴ ἐνδεχομένων ἄλλως ἔχειν. ὥστε τὸ λογιστικὸν ἐστιν ἓν τι μέρος τοῦ λόγου ἔχοντος. ληπτέον ἂρ' ἑκατέρου τούτων τίς ἡ βελτίστη ἕξις· αὕτη γὰρ ἀρετὴ ἑκατέρου, ἡ δ' ἀρετὴ πρὸς τὸ ἔργον τὸ οἰκεῖον. Τρία δή ἐστιν ἐν τῇ ψυχῇ τὰ κύρια πράξεως καὶ ἀληθείας, αἴσθησις νοῦς ὄρεξις. τούτων δ' ἡ αἴσθησις οὐδεμιᾶς ἀρχὴ πράξεως· δῆλον δὲ τῷ τὰ θηρία αἴσθησιν μὲν ἔχειν πράξεως δὲ μὴ κοινωνεῖν. ἔστι δ' ὅπερ ἐν διανοίᾳ κατάφασις καὶ ἀπόφασις, τοῦτ' ἐν

---

31. ὅσα] ὡς K^b 33. ἀληθῶς K^b Γ: ἀληθὲς vulg. 34. τίς ἐστιν K^b: τίς τ' ἐστὶν vulg. 35. δὲ M^a Γ 1139a 3. οὗπ om. K^b M^a 7. ὅσων] ὧν L^b M^b Γ 8. ᾧ τὰ ἐνδεχόμενα] τῶν ἃ ἐνδέχονται K^b: ὧν ἐνδέχονται coni. Coraes 17. δή scripsi: δ' codd.

pek çok şeyi bilmeyebilir: Tıpkı beden için nelerin verilmesi gerektiği sorulduğunda, "tıbbın emrettiği ve doktorun önerdiği her şeyin verilmesi gerekir" denmesi gibi. Bunun için ruh huyları konusunda da yalnızca söylenenin doğru olması yetmez, sağ akıl nedir ve onun sınırı nedir, bunu da söylemek gerekir.

Ruh erdemlerini ayırırken bazılarının karakter erdemleri bazılarının da düşünce erdemleri olduğunu söylemiştik. 1139a
Karakter erdemlerini açıkladık, ötekileri ise, önce ruh konusu üzerinde durduktan sonra ele alalım. Ruhun kısımlarının akıl sahibi olan ve akıldan pay almayan olmak üzere ikili olduğunu daha önce söylemiştik. Şimdi akıllı yanı da aynı şekilde ayırmak gerekiyor: Akıllı yanın da ikili olduğunu kabul edelim: Biri, ilkeleri başka türlü olamayacak nesnelere, öteki de ilkeleri başka türlü olabilecek nesnelere baktığımız yan. Nitekim belli bir benzerlik ve yakınlık açısından onların bilgisi oluyorsa, doğal olarak cins bakımından değişik olabilecek ruhun parçalarının herbiri cins bakımından değişik olsa gerek. Bu parçalardan birine tartan yan ötekine bilimsel yan diyelim. Düşünüp taşınmak ile tartmak aynı şeydir ve hiçkimse olduğundan başka türlü olamayacak şeyler üzerinde düşünüp taşınmaz. Dolayısıyla akıllı yanın bir kısmı tartan yan. Acaba bu iki kısmın hangisinin huyu en iyi, buna bakmak gerekiyor. Bu, herbirinin erdemi olacaktır, erdem de özgü olduğu işle ilgili. Ruhta eyleme ve doğruluğa özgü üç temel şey var: Duyum, us, iştah. Bunların içinde duyum hiçbir eylemin ilkesi değil. Yaban hayvanlarının duyuma sahip oldukları halde bir eyleme katılmamaları da bunun kanıtı. Düşüncede evetleme ile değilleme ne ise bu,

ὀρέξει δίωξις καὶ φυγή· ὥστ' ἐπειδὴ ἡ ἠθικὴ ἀρετὴ ἕξις προαιρετική, ἡ δὲ προαίρεσις ὄρεξις βουλευτική, δεῖ διὰ ταῦτα μὲν τόν τε λόγον ἀληθῆ εἶναι καὶ τὴν ὄρεξιν ὀρθήν, εἴπερ ἡ προαίρεσις σπουδαία, καὶ τὰ αὐτὰ τὸν μὲν φάναι τὴν δὲ διώκειν. αὕτη μὲν οὖν ἡ διάνοια καὶ ἡ ἀλήθεια πρακτική· τῆς δὲ θεωρητικῆς διανοίας καὶ μὴ πρακτικῆς μηδὲ ποιητικῆς τὸ εὖ καὶ κακῶς τἀληθές ἐστι καὶ ψεῦδος (τοῦτο γάρ ἐστι παντὸς διανοητικοῦ ἔργον)· τοῦ δὲ πρακτικοῦ καὶ διανοητικοῦ ἀλήθεια ὁμολόγως ἔχουσα τῇ ὀρέξει τῇ ὀρθῇ. πράξεως μὲν οὖν ἀρχὴ προαίρεσις—ὅθεν ἡ κίνησις ἀλλ' οὐχ οὗ ἕνεκα—προαιρέσεως δὲ ὄρεξις καὶ λόγος ὁ ἕνεκά τινος. διὸ οὔτ' ἄνευ νοῦ καὶ διανοίας οὔτ' ἄνευ ἠθικῆς ἐστὶν ἕξεως ἡ προαίρεσις· εὐπραξία γὰρ καὶ τὸ ἐναντίον ἐν πράξει ἄνευ διανοίας καὶ ἤθους οὐκ ἔστιν. διάνοια δ' αὐτὴ οὐθὲν κινεῖ, ἀλλ' ἡ ἕνεκά του καὶ πρακτική· αὕτη γὰρ καὶ τῆς ποιητικῆς ἄρχει· ἕνεκα γάρ του ποιεῖ 1139ᵇ πᾶς ὁ ποιῶν, καὶ οὐ τέλος ἁπλῶς (ἀλλὰ πρός τι καὶ τινός) τὸ ποιητόν, ἀλλὰ τὸ πρακτόν· ἡ γὰρ εὐπραξία τέλος, ἡ δ' ὄρεξις τούτου. διὸ ἢ ὀρεκτικὸς νοῦς ἢ προαίρεσις ἢ ὄρεξις διανοητική, καὶ ἡ τοιαύτη ἀρχὴ ἄνθρωπος. οὐκ ἔστι δὲ προαιρετὸν οὐδὲν γεγονός, οἷον οὐδεὶς προαιρεῖται Ἴλιον πεπορθηκέναι· οὐδὲ γὰρ βουλεύεται περὶ τοῦ γεγονότος ἀλλὰ περὶ τοῦ ἐσομένου καὶ ἐνδεχομένου, τὸ δὲ γεγονὸς οὐκ ἐνδέχεται μὴ γενέσθαι· διὸ ὀρθῶς Ἀγάθων

> μόνου γὰρ αὐτοῦ καὶ θεὸς στερίσκεται,
> ἀγένητα ποιεῖν ὅσ' ἂν ᾖ πεπραγμένα.

---

23. διὰ ταῦτα μὲν] δὲ ταῦτα μὲν K^b: διὰ μὲν ταῦτα L^b: μὲν διὰ ταῦτα Γ: διὰ ταῦτα M^b 30. ἀλήθεια K^b: ἡ ἀλήθεια $L^b M^b$ 36. δ' om. K^c αὕτη $K^b L^b$ 1139ᵇ 8. τὸ ante πρακτόν om. pr. K^b 11. πεπραγμένα om. K^b

iştahta peşinden koşma ile kaçmadır. Dolayısıyla madem karakter erdemi tercih edilen bir huy ve tercih, düşünülüp taşınılan bir iştah, tercih erdemli ise ve aynı şeyleri akıl uygun bulur iştah izlerse, bunlar aracılığıyla aklın doğru, iştahın sağın olması gerekir. İmdi bu, düşüncedir; eylemle ilgili doğruluktur. Ne eylemle ne de yaratmayla ilgili olan teorik düşünmenin 'iyi' ile 'kötü'sü, 'doğru' ile 'yanlış'tır (çünkü düşünme ile ilgili yanın bütününün işi budur). Eylemle ilgili ve düşünmeyle ilgili doğruluk, doğru iştahla uyum sağlar. O halde eylemin ilkesi tercihtir (ereksel neden değil, hareket ettirici neden), tercihin ilkesi ise iştahtır ve bir şey için olan akıl yürütmedir. Bunun için us, düşünce ve etik huydan bağımsız bir eylemde iyi durum ile bunun karşıtı sözkonusu olmaz. Düşünce ise, kendisi hiçbir şeyi devindirmez, bir amaç içindir ve eylemle ilgilidir, çünkü o yaratma etkinliğini de yönetir. Yaratan her kişi bir şey için bunu yapar ve mutlak anlamda hedef olan şey yaratılan şey değil (bir şeyle ilgilidir, bir şeye aittir), yapılan şeydir. Nitekim iyi durum bir hedeftir ve iştah buna dönüktür. Bunun için tercihe, ya iştahlı us ya da düşünce ile ilgili iştah denebilir ve insan böyle bir ilkedir. Olmuş olan üzerine tercih söz konusu değil: Sözgelişi hiçkimse Troia'nın yıkılmış olmasını tercih etmez, çünkü olmuş olan değil, olacak olan ya da olası olan üzerinde düşünülüp taşınılır, oysa olmuş olanın olmaması olası değil. Bunun için Agathon haklı:

"Yalnızca şunda Tanrı da eli kolu bağlı kalır:
Yapılmış şeyleri olmamış kılmak".[56]

ἀμφοτέρων δὴ τῶν νοητικῶν μορίων ἀλήθεια τὸ ἔργον. καθ' ἃς
οὖν μάλιστα ἕξεις ἀληθεύσει ἑκάτερον, αὗται ἀρεταὶ ἀμφοῖν.
3 Ἀρξάμενοι οὖν ἄνωθεν περὶ αὐτῶν πάλιν λέγωμεν. III.
15 ἔστω δὴ οἷς ἀληθεύει ἡ ψυχὴ τῷ καταφάναι ἢ ἀποφάναι,
πέντε τὸν ἀριθμόν· ταῦτα δ' ἐστὶ τέχνη ἐπιστήμη φρόνη-
σις σοφία νοῦς· ὑπολήψει γὰρ καὶ δόξῃ ἐνδέχεται δια-
ψεύδεσθαι. ἐπιστήμη μὲν οὖν τί ἐστιν, ἐντεῦθεν φανερόν, εἰ 2
δεῖ ἀκριβολογεῖσθαι καὶ μὴ ἀκολουθεῖν ταῖς ὁμοιότησιν. πάν-
20 τες γὰρ ὑπολαμβάνομεν, ὃ ἐπιστάμεθα, μηδ' ἐνδέχεσθαι
ἄλλως ἔχειν· τὰ δ' ἐνδεχόμενα ἄλλως, ὅταν ἔξω τοῦ
θεωρεῖν γένηται, λανθάνει εἰ ἔστιν ἢ μή. ἐξ ἀνάγκης ἄρα
ἐστὶ τὸ ἐπιστητόν. ἀΐδιον ἄρα· τὰ γὰρ ἐξ ἀνάγκης ὄντα
ἁπλῶς πάντα ἀΐδια, τὰ δ' ἀΐδια ἀγένητα καὶ ἄφθαρτα.
25 ἔτι διδακτὴ ἅπασα ἐπιστήμη δοκεῖ εἶναι, καὶ τὸ ἐπιστητὸν 3
μαθητόν. ἐκ προγινωσκομένων δὲ πᾶσα διδασκαλία, ὥσ-
περ καὶ ἐν τοῖς ἀναλυτικοῖς λέγομεν· ἡ μὲν γὰρ δι' ἐπα-
γωγῆς, ἡ δὲ συλλογισμῷ. ἡ μὲν δὴ ἐπαγωγὴ ἀρχή ἐστι
καὶ τοῦ καθόλου, ὁ δὲ συλλογισμὸς ἐκ τῶν καθόλου. εἰσὶν
30 ἄρα ἀρχαὶ ἐξ ὧν ὁ συλλογισμός, ὧν οὐκ ἔστι συλλογι-
σμός· ἐπαγωγὴ ἄρα. ἡ μὲν ἄρα ἐπιστήμη ἐστὶν ἕξις ἀπο- 4
δεικτική, καὶ ὅσα ἄλλα προσδιοριζόμεθα ἐν τοῖς ἀναλυ-
τικοῖς· ὅταν γάρ πως πιστεύῃ καὶ γνώριμοι αὐτῷ ὦσιν αἱ
ἀρχαί, ἐπίσταται· εἰ γὰρ μὴ μᾶλλον τοῦ συμπεράσματος,
35 κατὰ συμβεβηκὸς ἕξει τὴν ἐπιστήμην. περὶ μὲν οὖν ἐπι-
στήμης διωρίσθω τὸν τρόπον τοῦτον.
1140ᵃ Τοῦ δ' ἐνδεχομένου ἄλλως ἔχειν ἔστι τι καὶ ποιητὸν IV.
4 καὶ πρακτόν· ἕτερον δ' ἐστὶ ποίησις καὶ πρᾶξις (πιστεύομεν 2
δὲ περὶ αὐτῶν καὶ τοῖς ἐξωτερικοῖς λόγοις)· ὥστε καὶ ἡ

---

13. ἀληθεύει $L^b\Gamma$ 15. ἡ om. K^bM^b 20. μηδ' K^b: μὴ vulg.
25. ἅπασα] ἡ ἅπασα K^bM^b: πᾶσα L^b 27. ἐλέγομεν $M^b\Gamma$ 28.
ἀρχῆς L^b 30. ὁ om. K^b

Demek ki, usla ilgili heriki parçanın da görevi doğruluktur. Ona göre herbirinin en çok doğruya ulaşacağı huylar, onların erdemidir.

Şimdi yukarıdaki sorunu ele alıp bunlar üzerine yeniden söz edelim. Ruhun evet ya da hayır derken onlarla doğruya ulaştığı şeylerin sayısı beş: Bunlar sanat, bilim, aklı başındalık, bilgelik ve us. Kabul ve sanı ile ise yanlışa düşülebilir. Bilimin ne olduğu, kesin belirleme yapılması ve benzerliklere kulak asılmaması gerekirse, şurada açıklık kazanacaktır: Hepimiz, bildiğimiz şeyin olduğundan başka şekilde olmasının olası olmadığını kabul ederiz. Olduğundan başka türlü olabilecek şeyler, bizim gözlemlerimiz dışında oluştuğu zaman, oldukları ya da olmadıklan söylenemez. Demek ki, bilimsel bilgi nesnesi zorunlu olarak vardır, dolayısıyla ebedidir. Nitekim mutlak anlamda zorunlu olarak olan her şey ebedidir, ebedi şeyler ise doğmamış ve yokedilemez şeylerdir. Öte yandan öyle görünüyor ki, her bilim öğretilebilir, bilimsel bilgi nesnesi de öğrenilebilir. *Analytikler*'de de söylediğimiz gibi[57], her öğretim önbilgilerden yola çıkar: Bir tümevarım, bir de tasım yoluyla. Tümevarım bir ilkedir ve genele ilişkindir, tasım ise genelden hareket eder. Demek ki, tasımı olmayan, tasımın onlara dayandığı ilkeler vardır. Yani tümevarım. O halde bilim, kanıtlanabilir bir huydur ve *Analytikler*'de belirlediğimiz öteki özellikleri taşır. Bir biçimde inanıldığı ve ilkeler bilindiği zaman, bilgi edinilmiş olur. Bunlar sonuçtan daha çok bilinen şeyler değillerse rastlantısal olarak bilime ulaşılmış olacaktır. Bilim konusunu bu biçimde belirlemiş olduk.

Olduğundan başka türlü olabilecek bir nesne, yaratılan ve yapılan bir şey olabilir. Yaratma ile eylem ise farklı şey (bu konuda kamuya açık konuşmalarımıza da başvuruyoruz).

μετὰ λόγου ἕξις πρακτικὴ ἑτερόν ἐστι τῆς μετὰ λόγου ποιητικῆς ἕξεως. διὸ οὐδὲ περιέχεται ὑπ' ἀλλήλων· οὔτε γὰρ 5
3 ἡ πρᾶξις ποίησις οὔτε ἡ ποίησις πρᾶξίς ἐστιν. ἐπεὶ δ' ἡ οἰκοδομικὴ τέχνη τίς ἐστι καὶ ὅπερ ἕξις τις μετὰ λόγου ποιητική, καὶ οὐδεμία οὔτε τέχνη ἐστὶν ἥτις οὐ μετὰ λόγου ποιητικὴ ἕξις ἐστίν, οὔτε τοιαύτη ἣ οὐ τέχνη, ταὐτὸν
4 ἂν εἴη τέχνη καὶ ἕξις μετὰ λόγου ἀληθοῦς ποιητική. ἔστι 10 δὲ τέχνη πᾶσα περὶ γένεσιν καὶ τὸ τεχνάζειν καὶ θεωρεῖν ὅπως ἂν γένηταί τι τῶν ἐνδεχομένων καὶ εἶναι καὶ μὴ εἶναι, καὶ ὧν ἡ ἀρχὴ ἐν τῷ ποιοῦντι ἀλλὰ μὴ ἐν τῷ ποιουμένῳ· οὔτε γὰρ τῶν ἐξ ἀνάγκης ὄντων ἢ γινομένων ἡ τέχνη ἐστίν, οὔτε τῶν κατὰ φύσιν· ἐν αὐτοῖς γὰρ ἔχουσι 15
5 ταῦτα τὴν ἀρχήν. ἐπεὶ δὲ ποίησις καὶ πρᾶξις ἕτερον, ἀνάγκη τὴν τέχνην ποιήσεως ἀλλ' οὐ πράξεως εἶναι. καὶ τρόπον τινὰ περὶ τὰ αὐτά ἐστιν ἡ τύχη καὶ ἡ τέχνη, καθάπερ καὶ Ἀγάθων φησὶ "τέχνη τύχην ἔστερξε καὶ τύχη
6 τέχνην." ἡ μὲν οὖν τέχνη, ὥσπερ εἴρηται, ἕξις τις μετὰ 20 λόγου ἀληθοῦς ποιητική ἐστιν, ἡ δ' ἀτεχνία τοὐναντίον μετὰ λόγου ψευδοῦς ποιητικὴ ἕξις, περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν.

V. Περὶ δὲ φρονήσεως οὕτως ἂν λάβοιμεν, θεωρήσαντες 5
τίνας λέγομεν τοὺς φρονίμους. δοκεῖ δὴ φρονίμου εἶναι τὸ 25
δύνασθαι καλῶς βουλεύσασθαι περὶ τὰ αὐτῷ ἀγαθὰ καὶ συμφέροντα, οὐ κατὰ μέρος, οἷον ποῖα πρὸς ὑγίειαν, πρὸς
2 ἰσχύν, ἀλλὰ ποῖα πρὸς τὸ εὖ ζῆν ὅλως. σημεῖον δ' ὅτι καὶ τοὺς περί τι φρονίμους λέγομεν, ὅταν πρὸς τέλος τι σπουδαῖον εὖ λογίσωνται, ὧν μή ἐστι τέχνη. ὥστε καὶ ὅλως ἂν 30
3 εἴη φρόνιμος ὁ βουλευτικός. βουλεύεται δ' οὐθεὶς περὶ τῶν

1140ᵃ 5. περιέχονται M^b 11. καὶ ante θεωρεῖν seclus. Muretus 18. ταῦτ' K^b M^b 27. πρὸς ἰσχύν $K^b L^b$: ἢ ἰσχύν Γ: ἢ πρὸς ἰσχύν M^b 28. ὅλον Γ: om. K^b

Dolayısıyla akılla giden eylemle ilgili huy da akılla giden yaratmayla ilgili huydan farklıdır. Bunun için biribirlerini içermezler: Ne eylem bir yaratmadır ne de yaratma bir eylem. Madem mimarlık, akılla giden, yaratmayla ilgili huy olan bir sanat ve akılla giden, yaratmayla ilgili bir huy olmayan hiçbir sanat ya da sanat olmayan böyle bir huy yok, sanat ile doğru akılla giden, yaratmayla ilgili huy aynı şeydir. Her sanat oluşla, araştırmayla; ilkesi yaratılanda değil yaratanda olan ve olası olan şeylerden birinin olması ya da olmamasının nasıl oluştuğuna bakmakla ilgilidir. Nitekim zorunlu olarak olan ya da mutlak olarak oluşan nesnelerin sanatı yoktur; doğal olanların da sanatı yok, çünkü bunlar ilkeleri kendinde taşır. Madem yaratma ve eylem değişik şeyler, sanatın eylemle değil, yaratmayla ilgili olması zorunlu. Agathon'un dediği gibi, "sanat talihi sever, talih de sanatı"[58]. İmdi dediğimiz gibi, sanat doğru akılla birlikte giden yaratmayla ilgili bir huydur, sanat yoksunluğu ise, karşıtı, doğru olmayan akılla giden yaratmayla ilgili bir huydur ve olduğundan başka türlü olabilen şeyle ilgilidir.

Kimlere aklı başında dediğimize bakarak aklı başındalık konusunu ele alabiliriz. Öyle geliyor ki, aklı başında kişinin işi, sağlıkla, güçle ilgili olanlar gibi ayrıntılarda değil, bütünüyle iyi yaşama ile ilgili olarak nelerin kendisi için iyi ve yararlı olduğu konusunda yerinde düşünebilmektir. Kişilere, sanatı olmayan nesnelerin erdemli bir amacı ile ilgili olarak iyi akıl yürüttükleri zaman, "bir şey konusunda aklı başında" dememiz de bunu gösteriyor. Dolayısıyla genel anlamıyla kim iyi düşünürse o aklı başında olsa gerek. Hiçkimse olduğundan

ἀδυνάτων ἄλλως ἔχειν, οὐδὲ τῶν μὴ ἐνδεχομένων αὐτῷ πρᾶξαι. ὥστ' εἴπερ ἐπιστήμη μὲν μετ' ἀποδείξεως, ὧν δ' αἱ ἀρχαὶ ἐνδέχονται ἄλλως ἔχειν, τούτων μή ἐστιν ἀπόδειξις (πάντα γὰρ ἐνδέχεται καὶ ἄλλως ἔχειν), καὶ οὐκ
1140ᵇ ἔστι βουλεύσασθαι περὶ τῶν ἐξ ἀνάγκης ὄντων, οὐκ ἂν εἴη ἡ φρόνησις ἐπιστήμη οὐδὲ τέχνη, ἐπιστήμη μὲν ὅτι ἐνδέχεται τὸ πρακτὸν ἄλλως ἔχειν, τέχνη δ' ὅτι ἄλλο τὸ γένος πράξεως καὶ ποιήσεως. λείπεται ἄρα αὐτὴν εἶναι 4
ἕξιν ἀληθῆ μετὰ λόγου πρακτικὴν περὶ τὰ ἀνθρώπῳ ἀγαθὰ καὶ κακά. τῆς μὲν γὰρ ποιήσεως ἕτερον τὸ τέλος, τῆς δὲ πράξεως οὐκ ἂν εἴη· ἔστι γὰρ αὐτὴ ἡ εὐπραξία τέλος. διὰ 5
τοῦτο Περικλέα καὶ τοὺς τοιούτους φρονίμους οἰόμεθα εἶναι, ὅτι τὰ αὑτοῖς ἀγαθὰ καὶ τὰ τοῖς ἀνθρώποις δύνανται θεωρεῖν· εἶναι δὲ τοιούτους ἡγούμεθα τοὺς οἰκονομικοὺς καὶ τοὺς πολιτικούς. ἔνθεν καὶ τὴν σωφροσύνην τούτῳ προσαγορεύομεν τῷ ὀνόματι, ὡς σῴζουσαν τὴν φρόνησιν. σῴζει δὲ τὴν 6
τοιαύτην ὑπόληψιν. οὐ γὰρ ἁπασαν ὑπόληψιν διαφθείρει οὐδὲ διαστρέφει τὸ ἡδὺ καὶ λυπηρόν, οἷον ὅτι τὸ τρίγωνον δύο ὀρθὰς ἔχει ἢ οὐκ ἔχει, ἀλλὰ τὰς περὶ τὸ πρακτόν. αἱ μὲν γὰρ ἀρχαὶ τῶν πρακτῶν τὸ οὗ ἕνεκα τὰ πρακτά· τῷ δὲ διεφθαρμένῳ δι' ἡδονὴν ἢ λύπην εὐθὺς οὐ φαίνεται ἀρχή, οὐδὲ δεῖν τούτου ἕνεκεν οὐδὲ διὰ τοῦθ' αἱρεῖσθαι πάντα καὶ πράττειν· ἔστι γὰρ ἡ κακία φθαρτικὴ ἀρχῆς. ὥστ' ἀνάγκη τὴν φρόνησιν ἕξιν εἶναι μετὰ λόγου ἀληθῆ περὶ τὰ ἀνθρώπινα ἀγαθὰ πρακτικήν. ἀλλὰ μὴν 7
τέχνης μὲν ἔστιν ἀρετή, φρονήσεως δ' οὐκ ἔστιν· καὶ ἐν μὲν τέχνῃ ὁ ἑκὼν ἁμαρτάνων αἱρετώτερος, περὶ δὲ φρόνησιν ἧττον, ὥσπερ καὶ περὶ τὰς ἀρετάς. δῆλον οὖν ὅτι ἀρετή

1140ᵇ 2. ἡ add. L^b 12. ὡς om. $K^b M^b$ 14. λυπηρόν $K^b M^b$: τὸ λυπηρόν L^b 15. δύο ὀρθὰς scripsi: δύο ὀρθὰς ἴσας pr. K^b: δυσὶν ὀρθαῖς ἴσας vulg. 18. ante ἀρχή add. ἡ L^b 21. ἀληθοῦς M^b Γ

başka türlü olamayacak ve kendisinin yapamayacağı şeyler üzerine düşünüp taşınmaz. Dolayısıyla, bilim kanıtlama ile yol alırsa, ilkeleri başka türlü olabilecek nesnelerin ise kanıtlaması olmazsa (bu durumda herşeyin başka türlü olması da olası olur) ve zorunlu olarak olan nesneler konusunda düşünüp taşınmak olanaklı değilse, aklı başındalık ne bir bilim olabilir ne de bir sanat: Çünkü yapılan şeyin başka türlü olması olası olduğundan bilim değildir, eylem ile yaratmanın cinsi farklı bir şey olduğundan ötürü de bir sanat değildir. O halde onun, insan için iyi ve kötü şeylerle ilgili, akılla giden, uygulayıcı, doğru bir huy olması kalıyor geriye. Nitekim yaratmanın, kendisinden değişik olan bir hedefi vardır, eylemin ise olamaz, çünkü iyi eylemin kendisi hedeftir. Bundan ötürü kendileri için ve insanlar için iyi olan şeylere bakabildiklerinden ötürü, Perikles'in ve onun gibi olan kişilerin aklı başında olduğunu düşünüyoruz. Böyle kişilerin yönetici ve siyaset adamı olması gerektiğine inanıyoruz. Bu nedenle, aklı başındalığı içerdiğinden ötürü ona ölçülülük adını da veriyoruz; gerçekten de ölçülülük böyle bir kabulü içerir. Çünkü 'hoş' ya da 'acı verici' şey, her kabulü bozup yönünü değiştirmez: Örneğin üçgenin iki dik açısı olduğu ya da olmadığı yollu kabulü değil, eylemle ilgili kabulleri bozar ya da yönünü değiştirir. Nitekim eylemlerin ilkeleri yapılmış şeylerin ereksel nedenidir, ama haz ya da acı yüzünden bozulmuş kişi ilkeyi hemen göremez; herşeyi onun için ve onunla tercih edeceği ve yapacağı ilkeyi de göremez, çünkü kötülük ilkeyi yokeder. Dolayısıyla aklı başındalığın insansal iyilerle ilgili, akılla giden, doğru, uygulayıcı bir huy olması zorunludur. Üstelik sanatın bir erdemi var, aklı başındalığın ise yok. Sanatta isteyerek yanlışa düşen kişi daha çok tercih edilebilir, öteki erdemlerde de olduğu gibi aklı başındalıkta bu daha az tercih edilir. Demek ki, aklı başındalık

35 1140b 5 10 15 20

8 τις ἐστὶ καὶ οὐ τέχνη. δυοῖν δ' ὄντοιν μεροῖν τῆς ψυχῆς τῶν λόγον ἐχόντων, θατέρου ἂν εἴη ἀρετή, τοῦ δοξαστικοῦ· ἥ τε γὰρ δόξα περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν καὶ ἡ φρόνησις. ἀλλὰ μὴν οὐδ' ἕξις μετὰ λόγου μόνον· σημεῖον δ' ὅτι λήθη μὲν τῆς τοιαύτης ἕξεως ἔστι, φρονήσεως δ' οὐκ ἔστιν.

VI. Ἐπεὶ δ' ἡ ἐπιστήμη περὶ τῶν καθόλου ἐστὶν ὑπόληψις καὶ τῶν ἐξ ἀνάγκης ὄντων, εἰσὶ δ' ἀρχαὶ τῶν ἀποδεικτῶν καὶ πάσης ἐπιστήμης (μετὰ λόγου γὰρ ἡ ἐπιστήμη), τῆς ἀρχῆς τοῦ ἐπιστητοῦ οὔτ' ἂν ἐπιστήμη εἴη οὔτε τέχνη οὔτε φρόνησις· τὸ μὲν γὰρ ἐπιστητὸν ἀποδεικτόν, αἱ δὲ τυγχάνουσιν οὖσαι περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν. οὐδὲ δὴ σοφία τούτων ἐστίν· τοῦ γὰρ σοφοῦ περὶ ἐνίων ἔχειν ἀπόδειξίν ἐστιν. εἰ δὴ οἷς ἀληθεύομεν καὶ μηδέποτε διαψευδόμεθα περὶ τὰ μὴ ἐνδεχόμενα ἢ καὶ ἐνδεχόμενα ἄλλως ἔχειν, ἐπιστήμη καὶ φρόνησίς ἐστι καὶ σοφία καὶ νοῦς, τούτων δὲ τῶν τριῶν μηδὲν ἐνδέχεται εἶναι (λέγω δὲ τρία φρόνησιν ἐπιστήμην σοφίαν), λείπεται νοῦν εἶναι τῶν ἀρχῶν.

VII. Τὴν δὲ σοφίαν ἔν τε ταῖς τέχναις τοῖς ἀκριβεστάτοις τὰς τέχνας ἀποδίδομεν, οἷον Φειδίαν λιθουργὸν σοφὸν καὶ Πολύκλειτον ἀνδριαντοποιόν, ἐνταῦθα μὲν οὖν οὐθὲν ἄλλο σημαίνοντες τὴν σοφίαν ἢ ὅτι ἀρετὴ τέχνης ἐστίν· εἶναι δέ τινας σοφοὺς οἰόμεθα ὅλως οὐ κατὰ μέρος οὐδ' ἄλλο τι σοφούς, ὥσπερ Ὅμηρός φησιν ἐν τῷ Μαργίτῃ

> τὸν δ' οὔτ' ἄρ σκαπτῆρα θεοὶ θέσαν οὔτ' ἀροτῆρα
> οὔτ' ἄλλως τι σοφόν.

---

29. μὲν τῆς $K^b L^b M^b$: τῆς μὲν Γ 32. δ'] δ' αἱ $K^b M^b$ 33. ἡ om. $K^b M^b$ 1141ª 1. οὐδ' ἡ σοφία K^b 2. ἀπόδειξις pr. K^b: fort. ἀποδείξεις 9. τε] γε $L^b M^b$ 11. οὖν om. L^b

sanat değil, erdem, bu açık. Madem ruhun akıldan pay alan iki yanı var, bunlardan birinin, yani sanı ile ilgili yanın erdemi olsa gerek, çünkü sanı başka türlü olabilecek şeyle ilgili, aklı başındalık da öyle. Üstelik aklı başındalık yalnızca akılla giden bir huy değil: Böyle bir huyda unutkanlığın olması, aklı başındalıkta ise bunun olmaması da bunu gösteriyor.

Madem bilim genel ve zorunlu olarak olan nesnelerle ilgili bir kabul; kanıtlanabilir nesnelerin ve her bilimin ise ilkeleri var (çünkü bilim akılla birlikte), bilim nesnesinin ilkesine ilişkin bilim, sanat, aklı başındalık olmaz. Çünkü bilimin nesnesi kanıtlanabilir, oysa ötekiler başka türlü olabilecek nesnelerle ilgilidir. Bilgelik de ilkelere özgü değil, çünkü bilgeye düşen şey bazı konularda kanıta sahip olmaktır. İmdi başka türlü olamayan şeyler ve başka türlü olabilen şeyler konusunda, onlar aracılığıyla doğruya ulaştığımız ve hiç yanlışa düşmediğimiz erdemler bilim, aklı başındalık, bilgelik ve us ise, bunların da üçünden hiçbiri (üçünden, aklıbaşındalık, bilim ve bilgeliği kastediyorum) ilkelere özgü değilse, us ilkelere özgüdür, geriye kalan bu.

Sanatlarda bilgeliği en usta sanatçılar için kullanıyoruz. Sözgelişi Pheidia'ya "bilge taş ustası", Polykleitos'a "bilge heykeltraş" derken, burada sanat erdeminden başka bir şey olmayan bilgeliğe işaret ediyoruz. Ayrıca Homeros'un *Margites*'de

"Tanrılar şu adamı ne işçi ne çiftçi
ne de başka şekilde bir bilge yaptılar"

ὥστε δῆλον ὅτι ἀκριβεστάτη ἂν τῶν ἐπιστημῶν εἴη ἡ σοφία. δεῖ ἄρα τὸν σοφὸν μὴ μόνον τὰ ἐκ τῶν ἀρχῶν εἰδέναι, ἀλλὰ καὶ περὶ τὰς ἀρχὰς ἀληθεύειν. ὥστ' εἴη ἂν ἡ σοφία νοῦς καὶ ἐπιστήμη, ὥσπερ κεφαλὴν ἔχουσα ἐπιστήμη τῶν τιμιωτάτων. ἄτοπον γὰρ εἴ τις τὴν πολιτικὴν ἢ τὴν φρόνησιν σπουδαιοτάτην οἴεται εἶναι, εἰ μὴ τὸ ἄριστον τῶν ἐν τῷ κόσμῳ ἄνθρωπός ἐστιν. εἰ δὴ ὑγιεινὸν μὲν καὶ ἀγαθὸν ἕτερον ἀνθρώποις καὶ ἰχθύσι, τὸ δὲ λευκὸν καὶ εὐθὺ ταὐτὸν ἀεί, καὶ τὸ σοφὸν ταὐτὸ πάντες ἂν εἴποιεν, φρόνιμον δὲ ἕτερον· τὰ γὰρ περὶ αὑτὸ ἕκαστα τὸ εὖ θεωροῦν φησὶν εἶναι φρόνιμον, καὶ τούτῳ ἐπιτρέψει αὐτά. διὸ καὶ τῶν θηρίων ἔνια φρόνιμά φασιν εἶναι, ὅσα περὶ τὸν αὑτῶν βίον ἔχοντα φαίνεται δύναμιν προνοητικήν. φανερὸν δὲ καὶ ὅτι οὐκ ἂν εἴη ἡ σοφία καὶ ἡ πολιτικὴ ἡ αὐτή· εἰ γὰρ τὴν περὶ τὰ ὠφέλιμα τὰ αὑτοῖς ἐροῦσι σοφίαν, πολλαὶ ἔσονται σοφίαι· οὐ γὰρ μία περὶ τὸ ἀπάντων ἀγαθὸν τῶν ζῴων, ἀλλ' ἑτέρα περὶ ἕκαστον, εἰ μὴ καὶ ἰατρικὴ μία περὶ πάντων τῶν ὄντων. εἰ δ' ὅτι βέλτιστον ἄνθρωπος τῶν ἄλλων ζῴων, οὐδὲν διαφέρει· καὶ γὰρ ἀνθρώπου ἄλλα πολὺ θειότερα τὴν φύσιν, οἷον φανερώτατά γε ἐξ ὧν ὁ κόσμος συνέστηκεν. ἐκ δὴ τῶν εἰρημένων δῆλον ὅτι ἡ σοφία ἐστὶ καὶ ἐπιστήμη καὶ νοῦς τῶν τιμιωτάτων τῇ φύσει. διὸ Ἀναξαγόραν καὶ Θαλῆν καὶ τοὺς τοιούτους σοφοὺς μὲν φρονίμους δ' οὔ φασιν εἶναι, ὅταν ἴδωσιν ἀγνοοῦντας τὰ συμφέροντα ἑαυτοῖς, καὶ περιττὰ μὲν καὶ θαυμαστὰ καὶ χαλεπὰ καὶ δαιμόνια εἰδέναι αὐτούς φασιν, ἄχρηστα δ', ὅτι οὐ τὰ ἀνθρώπινα ἀγαθὰ ζητοῦσιν. Ἡ δὲ φρόνησις περὶ τὰ

16. ὥστε δῆλον ὅτι ἀκριβεστάτη ἂν τῶν ἐπιστημῶν εἴη ἡ σοφία. δεῖ ἄρα τὸν σοφὸν μὴ μόνον τὰ ἐκ τῶν ἀρχῶν εἰδέναι, ἀλλὰ καὶ περὶ τὰς ἀρχὰς ἀληθεύειν. ὥστ' εἴη ἂν ἡ σοφία νοῦς καὶ ἐπιστήμη, ὥσπερ κεφαλὴν ἔχουσα ἐπιστήμη 3
20 τῶν τιμιωτάτων. ἄτοπον γὰρ εἴ τις τὴν πολιτικὴν ἢ τὴν φρόνησιν σπουδαιοτάτην οἴεται εἶναι, εἰ μὴ τὸ ἄριστον τῶν ἐν τῷ κόσμῳ ἄνθρωπός ἐστιν. εἰ δὴ ὑγιεινὸν μὲν καὶ ἀγα- 4
θὸν ἕτερον ἀνθρώποις καὶ ἰχθύσι, τὸ δὲ λευκὸν καὶ εὐθὺ ταὐτὸν ἀεί, καὶ τὸ σοφὸν ταὐτὸ πάντες ἂν εἴποιεν, φρό-
25 νιμον δὲ ἕτερον· τὰ γὰρ περὶ αὑτὸ ἕκαστα τὸ εὖ θεωροῦν φησὶν εἶναι φρόνιμον, καὶ τούτῳ ἐπιτρέψει αὐτά. διὸ καὶ τῶν θηρίων ἔνια φρόνιμά φασιν εἶναι, ὅσα περὶ τὸν αὑτῶν βίον ἔχοντα φαίνεται δύναμιν προνοητικήν. φανερὸν δὲ καὶ ὅτι οὐκ ἂν εἴη ἡ σοφία καὶ ἡ πολιτικὴ ἡ αὐτή· εἰ γὰρ
30 τὴν περὶ τὰ ὠφέλιμα τὰ αὑτοῖς ἐροῦσι σοφίαν, πολλαὶ ἔσονται σοφίαι· οὐ γὰρ μία περὶ τὸ ἀπάντων ἀγαθὸν τῶν ζῴων, ἀλλ' ἑτέρα περὶ ἕκαστον, εἰ μὴ καὶ ἰατρικὴ μία περὶ πάντων τῶν ὄντων. εἰ δ' ὅτι βέλτιστον ἄνθρωπος τῶν ἄλλων ζῴων, οὐδὲν διαφέρει· καὶ γὰρ ἀνθρώπου ἄλλα πολὺ
1141 b θειότερα τὴν φύσιν, οἷον φανερώτατά γε ἐξ ὧν ὁ κόσμος συνέστηκεν. ἐκ δὴ τῶν εἰρημένων δῆλον ὅτι ἡ σοφία ἐστὶ 5
καὶ ἐπιστήμη καὶ νοῦς τῶν τιμιωτάτων τῇ φύσει. διὸ Ἀναξαγόραν καὶ Θαλῆν καὶ τοὺς τοιούτους σοφοὺς μὲν φρο-
5 νίμους δ' οὔ φασιν εἶναι, ὅταν ἴδωσιν ἀγνοοῦντας τὰ συμφέροντα ἑαυτοῖς, καὶ περιττὰ μὲν καὶ θαυμαστὰ καὶ χαλεπὰ καὶ δαιμόνια εἰδέναι αὐτούς φασιν, ἄχρηστα δ', ὅτι
8 οὐ τὰ ἀνθρώπινα ἀγαθὰ ζητοῦσιν. Ἡ δὲ φρόνησις περὶ τὰ 6

---

16. post ὅτι add. ἡ L^b 19. ante ὥσπερ add. καὶ L^b Γ 22. δ' M^b 25. τὰ scripsi : τὸ codd. τὸ om. M^b 26. φησὶν K^b: φαῖεν L^b M^b: φαῖεν ἂν Γ ἐπιτρέψει K^b: ἐπιτρέψειεν L^b: ἐπιτρέψειαν M^b Γ ἑαυτούς M^b 28. δὴ Luthe

demesi gibi, bazı kişilerin ayrıntılarda ya da belirli başka bir şeyde değil, genel anlamda bilge olduklarına inanıyoruz. Dolayısıyla bilgelik bilimlerin en kesini olsa gerek, bu açık. Demek ki, bilge yalnızca ilkelere dayanan şeyleri bilmekle kalmamalı, ilkeler konusunda da doğruyu bulmalı. Dolayısıyla bilgelik en değerlilerin başını çeken bir bilim olarak bilim ile us olsa gerek. Siyasetin ya da aklı başındalığın en yetkin olduğuna inanılması tutarsız olurdu: Meğer ki, insan evrendekilerin en iyisi olsun. Nitekim 'sağlıklı olan' insanlar için ve balıklar için değişik bir iyi ise, 'ak' ile 'düzgün' olan nesne her zaman aynı ise, herkes bilgeyi her zaman aynı kişi olarak, aklı başında kişiyi ise her zaman değişik olarak belirlese gerek. Aklı başındalık kendisi hakkındaki tek tek şeylere iyi bakmaktır, denebilir. Aklı başında kişiden beklenen budur. Bunun için yaşamları konusunda önceden sezme yetisi taşıdıkları düşünülen kimi hayvanların da aklı başında olduğu söylenir. Bilgelik ve siyaset aynı şey değil, bu açık. Çünkü bilgeliğin kendimiz için yararlı olan nesnelerle ilgili olduğunu söylesek pek çok anlamda bilgelik olacaktır. Nasıl bütün canlılar için tek bir tıp bilimi yoksa, bütün canlıların 'iyi'si ile ilgili bir tek bilgelik de yok, ama her kişi için değişik bir bilgelik vardır. İnsanın öteki canlılar içinde en iyisi olup olmaması da önemli değil. Doğa bakımından insandan çok daha tanrısal başka birçok nesne var: Sözgelişi dünyayı kuran son derece açık nesneler. Söylediklerimizden çıkan şu: bilgelik bir bilimdir ve doğa gereği en değerli nesnelerdeki ustur.Bunun için Anaksagoras'a, Thales'e ve böyle kişilere aklı başında değil, "bilge" diyoruz, çünkü insanca iyileri aramadıklarından ötürü kendilerine yararlı şeyleri bilmedikleri, büyük, hayranlık verici, zor, tanrısal ama yararsız şeyleri bildikleri söylenir. Oysa aklı başındalık

ἀνθρώπινα καὶ περὶ ὧν ἔστι βουλεύσασθαι· τοῦ γὰρ φρονίμου μάλιστα τοῦτ' ἔργον εἶναί φαμεν, τὸ εὖ βουλεύεσθαι, βουλεύεται δ' οὐδεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν, οὐδ' ὅσων μὴ τέλος τι ἔστι, καὶ τοῦτο πρακτὸν ἀγαθόν. ὁ δ' ἁπλῶς εὔβουλος ὁ τοῦ ἀρίστου ἀνθρώπῳ τῶν πρακτῶν στο-
7 χαστικὸς κατὰ τὸν λογισμόν. οὐδ' ἐστὶν ἡ φρόνησις τῶν καθόλου μόνον, ἀλλὰ δεῖ καὶ τὰ καθ' ἕκαστα γνωρίζειν· πρακτικὴ γάρ, ἡ δὲ πρᾶξις περὶ τὰ καθ' ἕκαστα. διὸ καὶ ἔνιοι οὐκ εἰδότες ἑτέρων εἰδότων πρακτικώτεροι, καὶ ἐν τοῖς ἄλλοις οἱ ἔμπειροι· εἰ γὰρ εἰδείη ὅτι τὰ κοῦφα εὔπεπτα κρέα καὶ ὑγιεινά, ποῖα δὲ κοῦφα ἀγνοοῖ, οὐ ποιήσει ὑγίειαν, ἀλλ' ὁ εἰδὼς ὅτι τὰ ὀρνίθεια [κοῦφα καὶ] ὑγιεινὰ ποιήσει μᾶλλον. ἡ δὲ φρόνησις πρακτική· ὥστε δεῖ ἄμφω ἔχειν, ἢ ταύτην μᾶλλον. εἴη δ' ἂν τις καὶ ἐνταῦθα ἀρ-
VIII. χιτεκτονική. Ἔστι δὲ καὶ ἡ πολιτικὴ καὶ ἡ φρόνησις ἡ αὐτὴ
2 μὲν ἕξις, τὸ μέντοι εἶναι οὐ ταὐτὸν αὐταῖς. τῆς δὲ περὶ πόλιν ἡ μὲν ὡς ἀρχιτεκτονικὴ φρόνησις νομοθετική, ἡ δὲ ὡς τὰ καθ' ἕκαστα τὸ κοινὸν ἔχει ὄνομα, πολιτική· αὕτη δὲ πρακτικὴ καὶ βουλευτική· τὸ γὰρ ψήφισμα πρακτὸν ὡς τὸ ἔσχατον. διὸ πολιτεύεσθαι τούτους μόνον λέγουσιν·
3 μόνοι γὰρ πράττουσιν οὗτοι ὥσπερ οἱ χειροτέχναι. δοκεῖ δὲ καὶ φρόνησις μάλιστ' εἶναι ἡ περὶ αὐτὸν καὶ ἕνα· καὶ ἔχει αὕτη τὸ κοινὸν ὄνομα, φρόνησις· ἐκείνων δὲ ἡ μὲν οἰκονομία ἡ δὲ νομοθεσία ἡ δὲ πολιτική, καὶ ταύτης ἡ
4 μὲν βουλευτικὴ ἡ δὲ δικαστική. Εἶδος μὲν οὖν τι ἂν εἴη γνώσεως τὸ αὐτῷ εἰδέναι· ἀλλ' ἔχει διαφορὰν πολλήν· καὶ δοκεῖ ὁ τὰ περὶ αὑτὸν εἰδὼς καὶ διατρίβων φρόνιμος εἶναι, οἱ δὲ πολιτικοὶ πολυπράγμονες· διὸ Εὐριπίδης

1141ᵇ 13. ὁ om. Kᵇ 20. κοῦφα καὶ seclus. Trendelenburg 25. φρόνησις seclus. Scaliger 27. καὶ om. Kᵇ Lᵇ 28. ἔσχατον] ἕκαστον Kᵇ μόνους Lᵇ 34. τὸ] τὸ τὰ Lᵇ Mᵇ 1142ᵃ 1. τὸ pr. Kᵇ

insansal şeylerle ve üzerinde düşünüp taşınılacak şeylerle ilgilidir: Aklı başında kişinin ödevi özellikle budur, iyi düşünüp taşınmaktır, diyoruz. Ne ki, hiçkimse başka türlü olması olası olmayan, belli bir amacı olmayan ve bu amacı yapılabilir bir iyi olmayan şeyler üzerine enine boyuna düşünmez. Tartarak insan için gerçekleştirilebilir en iyi şeyi gözeten kişi mutlak anlamda iyi düşünüp taşınandır. Ayrıca aklı başında yalnızca geneli değil, ayrıntıları da bilmeli. Çünkü eylemle ilgili, eylem ise tek tek nesnelerle ilgili. Bunun için öteki alanlardaki deneyimli kişiler gibi, bilmedikleri halde bazı bilgililerden daha uygulayıcı kişiler vardır. Biri hazım ve sağlık için hafif etin iyi olduğunu biliyor, ama hangi etlerin hafif olduğunu bilmiyorsa, sağlık kazandırmaz, bunu kuş etinin hafif olduğunu bilen biri daha çok başarır. Aklı başındalık ise uygulamayla ilgilidir. Dolayısıyla herikisine de, ama daha çok berikine sahip olmak gerekir. Öyleyse bu açıdan da temel bir erdem olsa gerek.

Siyaset ile aklıbaşındalık huy olarak aynı ama kendileri bakımından aynı değiller. Devlet konusunda temel aklı başındalık olarak yasama sanatı, tek tek nesnelerde ortak adıyla da siyaset. Bu, uygulamayla ve düşünceyle ilgili bir huy. Nitekim karar en son gerçekleştirilecek şeydir. Bunun için yalnızca karar verenlerin devlet yönettikleri söylenir, çünkü yalnızca bunlar el sanatçısı gibi iş görür. Aklı başındalığın özellikle kişinin kendisiyle ve tek kişiyle ilgili olduğu da görülüyor, genel bir ad taşıdığında da aklı başındalık oluyor. Bunlardan biri ekonomi, biri yasama sanatı; biri de siyaset. Bunun da biri düşünme taşınma ile ilgili, öteki yargı ile. Demek ki, kendisi için bilmek bir bilgi türü, ama pek çok ayrımı var. Kendisiyle ilgili olanları bilip kendini yalnızca ona veren kişinin de aklı başında olduğu düşünülüyor. Siyasetçiler ise pek çok işle ilgileniyor. Bunun için Euripides şöyle der:

πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως
ἐν τοῖσι πολλοῖς ἠριθμημένον στρατοῦ
ἴσον μετασχεῖν;
τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον . . .

ζητοῦσι γὰρ τὸ αὐτοῖς ἀγαθόν, καὶ οἴονται τοῦτο δεῖν πράττειν. ἐκ ταύτης οὖν τῆς δόξης ἐλήλυθε τὸ τούτους φρονίμους εἶναι· καίτοι ἴσως οὐκ ἔστι τὸ αὐτοῦ εὖ ἄνευ οἰκονομίας οὐδ' ἄνευ πολιτείας. ἔτι δὲ τὰ αὐτοῦ πῶς δεῖ διοικεῖν, ἄδηλον καὶ σκεπτέον. σημεῖον δ' ἐστὶ τοῦ εἰρημένου καὶ διότι γεωμετρικοὶ μὲν νέοι καὶ μαθηματικοὶ γίνονται καὶ σοφοὶ τὰ τοιαῦτα, φρόνιμος δ' οὐ δοκεῖ γίνεσθαι. αἴτιον δ' ὅτι καὶ τῶν καθ' ἕκαστά ἐστιν ἡ φρόνησις, ἃ γίνεται γνώριμα ἐξ ἐμπειρίας, νέος δ' ἔμπειρος οὐκ ἔστιν· πλῆθος γὰρ χρόνου ποιεῖ τὴν ἐμπειρίαν· ἐπεὶ καὶ τοῦτ' ἄν τις σκέψαιτο, διὰ τί δὴ μαθηματικὸς μὲν παῖς γένοιτ' ἄν, σοφὸς δ' ἢ φυσικὸς οὔ. ἢ ὅτι τὰ μὲν δι' ἀφαιρέσεώς ἐστιν, τῶν δ' αἱ ἀρχαὶ ἐξ ἐμπειρίας· καὶ τὰ μὲν οὐ πιστεύουσιν οἱ νέοι ἀλλὰ λέγουσιν, τῶν δὲ τὸ τί ἐστιν οὐκ ἄδηλον; ἔτι ἡ ἁμαρτία ἢ περὶ τὸ καθόλου ἐν τῷ βουλεύσασθαι ἢ περὶ τὸ καθ' ἕκαστον· ἢ γὰρ ὅτι πάντα τὰ βαρύσταθμα ὕδατα φαῦλα, ἢ ὅτι τοδὶ βαρύσταθμον. ὅτι δ' ἡ φρόνησις οὐκ ἐπιστήμη, φανερόν· τοῦ γὰρ ἐσχάτου ἐστίν, ὥσπερ εἴρηται· τὸ γὰρ πρακτὸν τοιοῦτον. ἀντίκειται μὲν δὴ τῷ νῷ· ὁ μὲν γὰρ νοῦς τῶν ὅρων, ὧν οὐκ ἔστι λόγος, ἡ δὲ τοῦ ἐσχάτου, οὗ οὐκ ἔστιν ἐπιστήμη ἀλλ' αἴσθησις, οὐχ ἡ τῶν ἰδίων, ἀλλ' οἵᾳ αἰσθανόμεθα ὅτι τὸ [ἐν τοῖς μαθηματικοῖς]

---

4. ἠριθμημένον K^b Γ: ἠριθμημένῳ L^b M^b 9. εἶναι om. K^h εὖ K^b: εἰδέναι M^b: om. L^b Γ 14. καὶ om. M^b 16. γὰρ] δὲ K^b 20. οὐκ om. pr. K^b M^b 23. post τοδὶ add. τὸ K^b M^b 28. οἵᾳ] οἷα ἡι K^b M^b ἐν τοῖς μαθηματικοῖς seclusi

"Hiçbir iş görmeden, bir ordu yığını içinde adamdan sayılıp eşit pay alırken, nasıl aklıbaşında olabilirim? Üstün olanları ve daha çok iş görenleri..."[59]

Çünkü kendileri için iyiyi araştırıyorlar ve bunu yapmak gerektiğine inanıyorlar. İmdi bunların aklı başında olduğu bu kanıya dayanıyor. Yine de ekonomi ve devlet yönetiminden bağımsız kendi için iyi herhalde olmaz. Öte yandan kendine ait şeylerin nasıl düzenlenmesi gerektiği açık değil ve araştırılması gerekiyor. Gençlerin geometrici, matematikçi ya da bu tür bir bilge olup aklı başında olmamaları da bunu gösteriyor. Bunun nedeni aklı başındalığın yalnızca deneyimle bilinebilen tek tek şeylerle ilgili olması, bir gencin ise deneyimli olmamasıdır. Deneyim uzun zaman gerektirir. Niçin bir gencin matematikçi olabilmesine karşın bir bilge ya da doğa bilimcisi olamadığı araştırılmak istenebilir. Acaba biri soyutlamayla ilgili olduğu, ötekilerin ise deneyime dayanmasından ötürü mü? Bu ilkelere gençlerin güvenmemesi, yalnızca onları yinelemesi, ötekilerin ise neliğinin açık olması mı? Ayrıca düşünme taşınmada hem genel hem de tek tek şeylerle ilgili yanılgı olabilir: Sözgelişi bütün ağır sular pistir ya da buradaki şu su ağırdır gibi. Aklı başındalığın ise bir bilim olmadığı açık, çünkü dediğimiz gibi, o sonuçla ilgilidir, olan şey böyle bir şeydir, uygulamayla ilgilidir, usa karşıttır. Çünkü us, nedeni olmayan tanımlarla ilgili, aklı başındalık ise bilimi değil, duyumu olan şeyin sonucuyla ilgili: Özel nesnelerin değil, onunla sözgelişi (geometrik nesnelerde)

ἔσχατον τρίγωνον· στήσεται γὰρ κἀκεῖ. ἀλλ' αὕτη μᾶλλον αἴσθησις ἢ φρόνησις, ἐκείνης δ' ἄλλο εἶδος.

IX. Τὸ ζητεῖν δὲ καὶ τὸ βουλεύεσθαι διαφέρει· τὸ γὰρ βουλεύεσθαι ζητεῖν τι ἐστίν. δεῖ δὲ λαβεῖν καὶ περὶ εὐβουλίας τί ἐστι, πότερον ἐπιστήμη τις ἢ δόξα ἢ εὐστοχία ἢ 2 ἄλλο τι γένος. ἐπιστήμη μὲν δὴ οὐκ ἔστιν· οὐ γὰρ ζητοῦσι περὶ ὧν ἴσασιν, ἡ δ' εὐβουλία βουλή τις, ὁ δὲ βουλευόμενος ζητεῖ καὶ λογίζεται. ἀλλὰ μὴν οὐδ' εὐστοχία· ἄνευ τε γὰρ λόγου καὶ ταχύ τι ἡ εὐστοχία, βουλεύονται δὲ πολὺν χρόνον, καὶ φασὶ πράττειν μὲν δεῖν ταχὺ τὰ βου- 3 λευθέντα, βουλεύεσθαι δὲ βραδέως. ἔτι ἡ ἀγχίνοια ἕτερον καὶ ἡ εὐβουλία· ἔστι δ' εὐστοχία τις ἡ ἀγχίνοια. οὐδὲ δὴ δόξα ἡ εὐβουλία οὐδεμία. ἀλλ' ἐπεὶ ὁ μὲν κακῶς βουλευόμενος ἁμαρτάνει, ὁ δ' εὖ ὀρθῶς βουλεύεται, δῆλον ὅτι ὀρθότης τις ἡ εὐβουλία ἐστίν, οὔτ' ἐπιστήμης δὲ οὔτε δόξης· ἐπιστήμης μὲν γὰρ οὐκ ἔστιν ὀρθότης (οὐδὲ γὰρ ἁμαρτία), δόξης δ' ὀρθότης ἀλήθεια· ἅμα δὲ καὶ ὥρισται ἤδη πᾶν οὗ δόξα ἐστίν. ἀλλὰ μὴν οὐδ' ἄνευ λόγου ἡ εὐβουλία. διανοίας ἄρα λείπεται· αὕτη γὰρ οὔπω φάσις· καὶ γὰρ ἡ δόξα οὐ ζήτησις ἀλλὰ φάσις τις ἤδη, ὁ δὲ βουλευόμενος, ἐάν τε εὖ ἐάν τε καὶ κακῶς βουλεύηται, ζητεῖ τι καὶ λογίζεται. 4 ἀλλ' ὀρθότης τίς ἐστιν ἡ εὐβουλία βουλῆς· διὸ ἡ βουλὴ ζητητέα πρῶτον τί καὶ περὶ τί. ἐπεὶ δ' ἡ ὀρθότης πλεοναχῶς, δῆλον ὅτι οὐ πᾶσα· ὁ γὰρ ἀκρατὴς καὶ ὁ φαῦλος ὃ προτίθεται †ἰδεῖν† ἐκ τοῦ λογισμοῦ τεύξεται, ὥστε ὀρθῶς ἔσται βεβουλευμένος, κακὸν δὲ μέγα εἰληφώς. δοκεῖ δ' ἀγαθόν τι τὸ εὖ βεβουλεῦσθαι· ἡ γὰρ τοιαύτη ὀρθότης βουλῆς 5 εὐβουλία, ἡ ἀγαθοῦ τευκτική. ἀλλ' ἔστι καὶ τούτου ψευδεῖ

---

30. ἡ $L^b M^b$ Γ 32. καὶ om. $K^b M^b$ Γ 1142^b 9. ἡ εὐβουλία τις K^b M^b δὲ om. $K^b M^b$ 15. καὶ post τε om. L^b Γ 19. δεῖν Γ 21. post τι add. εἶναι L^b

bir üçgenin son öğe olduğunun ayırdına vardığımız duyumu olan. Nitekim o son noktada artık durulacaktır. Bu aklı başındalık değil, daha çok bir sezgidir, aklı başındalığın türü başka.

Araştırmak ve düşünüp taşınmak farklı şeyler. Düşünüp taşınmak bir şeyi araştırmaktır. Demek ki, iyi düşünme ne, bir bilim mi, bir sanı mı, bir isabetlilik mi, yoksa başka cins bir şey mi, bunu anlamak gerekiyor. Aslında bir bilim değil, çünkü bilinen şey araştırılmaz. İyi düşünme bir tür düşünmedir ve düşünen kişi araştırır, tartar. Düşünüp taşınmak bir isabetlilik de değil, çünkü isabetlilik akıl yürütmeden bağımsız, hızlı bir şey, oysa düşünüp taşınmak çok zaman ister ve yavaş yavaş düşünüp taşınmak gerektiğini, düşünülüp taşınılmış şeyin ise çabucak yapılması gerektiğini söylerler. Ayrıca kavrama ve iyi düşünme de farklı şeyler. Kavrama, bir tür isabetliliktir. Hiçbir iyi düşünme, bir kanı da olamaz. Madem kötü biçimde düşünen yanlışa düşüyor, iyi düşünen ise sağ karar veriyor, iyi düşünmenin bir tür sağınlık olduğu ve bir tür bilim ya da kanı olmadığı açık. Çünkü bilimde bir sağınlık yok (nitekim yanılgı da olmaz), kanının sağınlığı ise hakikat. Ayrıca kanısı olan her şey zaten belirlenmiştir de. Oysa iyi düşünme akıl yürütmeden bağımsız değil. Öyleyse onun anlama yetisine ait olması kalıyor geriye. Çünkü o [yalnızca] bir açıklama değil. Kanı bir araştırma değil, bir açıklama, oysa düşünüp taşınan kişi, ister iyi ister kötü biçimde düşünsün, belli bir şekilde araştırma yapar ve tartar. Demek ki, iyi düşünme bir düşünme sağınlığı. Bunun için öncelikle düşünmenin ne olduğu ve ne ile ilgili olduğu araştırılmalı. Madem sağınlık pek çok anlamda kullanılıyor, burada bütün anlamların söz konusu olmadığı açık. Nitekim kendine egemen olmayan kişi ve fena kişi, görmeleri belirtilen şeyi tartarak bulacaktır. Dolayısıyla bunlar büyük bir kötülük elde etse bile sağ düşünmüş olacaktır. Oysa iyi düşünüp taşınmak iyi bir şey diye düşünülüyor. Nitekim bir iyi ortaya koyan bu tür sağ düşünme iyi düşünmedir. Ne ki aldatıcı bir tasımla

συλλογισμῷ τυχεῖν, καὶ ὃ μὲν δεῖ ποιῆσαι τυχεῖν, δι' οὗ δ' οὔ, ἀλλὰ ψευδῆ τὸν μέσον ὅρον εἶναι· ὥστ' οὐδ' αὕτη πω εὐβουλία, καθ' ἣν οὗ δεῖ μὲν τυγχάνει, οὐ μέντοι δι' οὗ ἔδει. ἔτι ἔστι πολὺν χρόνον βουλευόμενον τυχεῖν, 6 τὸν δὲ ταχύ. οὐκοῦν οὐδ' ἐκείνη πω εὐβουλία, ἀλλ' ὀρθότης ἡ κατὰ τὸ ὠφέλιμον, καὶ οὗ δεῖ καὶ ὡς καὶ ὅτε. ἔτι 7 ἔστι καὶ ἁπλῶς εὖ βεβουλεῦσθαι καὶ πρός τι τέλος. ἡ μὲν δὴ ἁπλῶς ἡ πρὸς τὸ τέλος τὸ ἁπλῶς κατορθοῦσα, τὶς δὲ ἡ πρός τι τέλος. εἰ δὴ τῶν φρονίμων τὸ εὖ βεβουλεῦσθαι, ἡ εὐβουλία εἴη ἂν ὀρθότης ἡ κατὰ τὸ συμφέρον πρὸς τὸ τέλος, οὗ ἡ φρόνησις ἀληθὴς ὑπόληψίς ἐστιν.

11 Ἔστι δὲ καὶ ἡ σύνεσις καὶ ἡ εὐσυνεσία, καθ' ἃς λέ- X.
1143ᵃ γομεν συνετοὺς καὶ εὐσυνέτους, οὔθ' ὅλως τὸ αὐτὸ ἐπιστήμῃ ἢ δόξῃ (πάντες γὰρ ἂν ἦσαν συνετοί) οὔτε τις μία τῶν κατὰ μέρος ἐπιστημῶν, οἷον ἡ ἰατρικὴ περὶ ὑγιεινῶν, ἢ γεωμετρία περὶ μεγέθη· οὔτε γὰρ περὶ τῶν ἀεὶ ὄντων καὶ ἀκινήτων ἡ σύνεσίς ἐστιν οὔτε περὶ τῶν γιγνομένων ὁτουοῦν, ἀλλὰ περὶ ὧν ἀπορήσειεν ἄν τις καὶ βουλεύσαιτο. διὸ περὶ τὰ αὐτὰ μὲν τῇ φρονήσει ἐστίν, οὐκ ἔστι δὲ τὸ αὐτὸ σύνεσις καὶ φρόνησις. ἡ μὲν γὰρ φρόνησις ἐπιτακτική ἐστιν· τί γὰρ 2 δεῖ πράττειν ἢ μή, τὸ τέλος αὐτῆς ἐστίν· ἡ δὲ σύνεσις κριτικὴ μόνον. ταὐτὸ γὰρ σύνεσις καὶ εὐσυνεσία καὶ συνετοὶ καὶ εὐσύνετοι. ἔστι δ' οὔτε τὸ ἔχειν τὴν φρόνησιν οὔτε τὸ λαμβάνειν ἡ σύνεσις· ἀλλ' ὥσπερ τὸ μανθάνειν 3 λέγεται συνιέναι, ὅταν χρῆται τῇ ἐπιστήμῃ, οὕτως ἐν τῷ

---

23. ante δι' add. τούτου L^b 25. πω K^b: πως vulg. 30. τὶς δὲ $K^b M^b \Gamma$: ἡ δέ τις L^b 31. βουλεύεσθαι K^b 32. ἡ ante κατὰ om. K^b 33. τὸ $K^b \Gamma$: τι vulg. 34. εὐσυνεσία H. Stephanus: ἀσυνεσία codd. 1143ᵃ 1. εὐσυνέτους H. Stephanus: ἀσυνέτους codd. 3. ἡ om. L^b post ὑγιεινῶν add. γὰρ ἂν ἦν $L^b M^b \Gamma$ ἡ K^b: ἢ vulg. 4. μεγέθους L^b 10. ante συνετοὶ add. γὰρ οἱ $L^b \Gamma$

bunu ortaya koymak ve gerekmeyen yolla, yanlış orta terimle yapılması gereken şeyi yapmak da olanaklı. Dolayısıyla gereken şeyi gerekmeyen yolla ortaya koyan düşünme de iyi düşünme değil. Ayrıca kimi zaman uzun süre düşünerek, kimi zaman da çabucak düşünerek bu ortaya konabilir. İmdi yukarıda belirttiğimiz bu şey de bir iyi düşünme değil; amaç, tarz, ve zaman bakımından yararlı olanla ilgili bir sağınlık. Bir de genel anlamda ya da belli bir amaçla ilgili iyi düşünüp taşınmak olanaklı. Genel anlamda iyi düşünüp taşınma genel amacı gözetir, belirli bir amaçla ilgili iyi düşünüp taşınma da belirli bir amacı. İmdi iyi düşünüp taşınmak aklı başında kişilere düşüyor ise, iyi düşünme gerçek aklı başındalığın kabul ettiği bir amaçla ilgili olarak yararlı olana uygun bir sağınlıktır.

Onlara göre kimi kişileri "doğru yargılayan", "tam yargılayan" diye tanımladığımız doğru yargılama ile tam yargılama var bir de. Bu bir bilim ya da sanıyla aynı şey değil (çünkü bu durumda herkes doğru yargılayan kişi olabilirdi) ve sağlığı ilgilendiren konularda hekimlik, uzamla ilgili olarak da geometri gibi bilim alanlarından biri de değil. Çünkü doğru yargılama hep varolan ve devinimsiz nesnelerle ya da oluşan bir nesneyle ilgili değil, soru konusu olan ve üzerinde düşünülüp taşınılabilen nesnelerle ilgili. Bunun için aklı başındalıkla o aynı şeylerle ilgili, ama doğru yargılama ile aklıbaşındalık kendi başına aynı şey değil. Çünkü aklı başındalık yaptırımsaldır, onun amacı neyi yapıp neyi yapmamak gerektiğidir. Doğru yargılama ise yalnızca değerlendiricidir. Doğru yargılama ve tam yargılama aynı şeydir ve doğru yargılayan kişiler tam yargılayan da kişilerdir. Doğru yargılama aklı başındalığa sahip olmak ya da onu elde etmek değil. Nasıl bilim kullanılırken 'kavramak' doğru yargılamak anlamında kullanılırsa, aynı şekilde

χρῆσθαι τῇ δόξῃ ἐπὶ τὸ κρίνειν περὶ τούτων περὶ ὧν ἡ φρόνησίς ἐστιν, ἄλλου λέγοντος, καὶ κρίνειν καλῶς· τὸ γὰρ
4 εὖ τῷ καλῶς τὸ αὐτό. καὶ ἐντεῦθεν ἐλήλυθε τοὔνομα ἡ σύνεσις, καθ' ἣν εὐσύνετοι, ἐκ τῆς ἐν τῷ μανθάνειν· λέγομεν γὰρ τὸ μανθάνειν συνιέναι πολλάκις.

XI. Ἡ δὲ καλουμένη γνώμη, καθ' ἣν συγγνώμονας καὶ ἔχειν φαμὲν γνώμην, ἡ τοῦ ἐπιεικοῦς ἐστὶ κρίσις ὀρθή. σημεῖον δέ· τὸν γὰρ ἐπιεικῆ μάλιστά φαμεν εἶναι συγγνωμονικόν, καὶ ἐπιεικὲς τὸ ἔχειν περί ἔνια συγγνώμην. ἡ δὲ συγγνώμη γνώμη ἐστὶ κριτικὴ τοῦ ἐπιεικοῦς ὀρθή· ὀρθὴ δ' ἡ τοῦ ἀληθοῦς.

2 Εἰσὶ δὲ πᾶσαι αἱ ἕξεις εὐλόγως εἰς ταὐτὸ τείνουσαι· 12
λέγομεν γὰρ γνώμην καὶ σύνεσιν καὶ φρόνησιν καὶ νοῦν ἐπὶ τοὺς αὐτοὺς ἐπιφέροντες γνώμην ἔχειν καὶ νοῦν ἤδη καὶ φρονίμους καὶ συνετούς. πᾶσαι γὰρ αἱ δυνάμεις αὗται τῶν ἐσχάτων εἰσὶ καὶ τῶν καθ' ἕκαστον· καὶ ἐν μὲν τῷ κριτικὸς εἶναι περὶ ὧν ὁ φρόνιμος, συνετὸς καὶ εὐγνώμων
3 ἢ συγγνώμων· τὰ γὰρ ἐπιεικῆ κοινὰ τῶν ἀγαθῶν ἁπάντων ἐστὶν ἐν τῷ πρὸς ἄλλον. ἔστι δὲ τῶν καθ' ἕκαστα καὶ τῶν ἐσχάτων ἅπαντα τὰ πρακτά· καὶ γὰρ τὸν φρόνιμον δεῖ γινώσκειν αὐτά, καὶ ἡ σύνεσις καὶ ἡ γνώμη περὶ τὰ
4 πρακτά, ταῦτα δ' ἔσχατα. καὶ ὁ νοῦς τῶν ἐσχάτων ἑπ' ἀμφότερα· καὶ γὰρ τῶν πρώτων ὅρων καὶ τῶν ἐσχάτων νοῦς ἐστὶ καὶ οὐ λόγος, καὶ ὁ μὲν κατὰ τὰς ἀποδείξεις 1143 b
τῶν ἀκινήτων ὅρων καὶ πρώτων, ὁ δ' ἐν ταῖς πρακτικαῖς τοῦ ἐσχάτου καὶ ἐνδεχομένου καὶ τῆς ἑτέρας προτάσεως· ἀρχαὶ γὰρ τοῦ οὗ ἕνεκα αὗται· ἐκ τῶν καθ' ἕκαστα γὰρ
5 τὰ καθόλου· τούτων οὖν ἔχειν δεῖ αἴσθησιν, αὕτη δ' ἐστὶ νοῦς. 5

---

14. ἐπὶ seclus. Thurot fort. secludendum 19. εὐγνώμονας L^b Γ 30. εὐγνώμων ἡ 33. ἁπάντων K^b M^b Γ 1143 b 1. καὶ ante ὁ om. L^b Γ 5. τὸ L^b Γ οὖν om. K^b

aklı başındalığın ilgili olduğu konularda, değerlendirmede kanıdan yararlanılırken ve başkası konuşurken, yerinde değerlendirilirken aynı şey söz konusu olmaktadır. Çünkü iyi değerlendirme ile yerinde değerlendirme aynı şey. Kişileri ona göre "tam yargılayan" diye belirlediğimiz doğru yargılama adı da 'kavrama'dan çıkar. Nitekim biz çoğu kez "kavrama"ya "doğru yargılamak" adını veririz.

Ona göre kimi kişileri bağışlayıcı olarak tanımladığımız ve anlayış taşıdıklarını söylediğimiz "anlayış"[60] diye adlandırılan şey, doğru kişiye özgü sağ yargıdır. Doğru kişinin özellikle bağışlayıcı olduğu ve bazı konularda bağışlayabildiğini söylememiz de bunun kanıtı. Bağışlama, doğru kişinin sağ yargılı anlayışıdır. Sağ, yani hakikate özgü.

Bütün bu huyların aynı amaca yönelmesi akla uygun. Biz aynı kişilerin anlayış, us taşıdıklarını; aklı başında olduklarını, doğru yargıladıklarını söylüyorsak; anlayışı, doğru yargılamayı, aklı başındalığı ve usu aynı kişilere yüklüyoruz demektir. Çünkü bütün bu olanaklar son durumlarla ve tek tek konularla ilgili olarak aynı şey. Kişi nelerde aklı başında ise o konularda değerlendirici olması açısından, aynı zamanda doğru yargılayandır, anlayışlıdır ya da bağışlayıcıdır. Nitekim doğru şeyler ötekilerle ilgisi içinde bütün iyiler için ortak. Uygulamayla ilgili bütün şeyler, tek tek şeylerle ve en sondakilerle ilgilidir. Aklı başında kişi bunları bilmek zorundadır. Hem doğru yargılama hem anlayış yapılan şeylerle ilgili, bunlar da en sonda olanlar. Us da heriki parça konusunda en son şeylerle ilgili. Nitekim akıl yürütme değil, ustur ilk tanımlara ve en sondakilere özgü olan: Biri kanıtlamalardaki değişmez ve ilk tanımlarla ilgilidir, öteki yapılanlarda en son şeyle, olası olanla, değişik bir öncülle ilgili. Nitekim ereksel nedenin ilkeleri bunlardır: Tek teklerden tümel olanlar çıkar. Öyleyse bunlarla ilgili bir sezgi olmalı: İşte bu ustur.

διὸ καὶ φυσικὰ δοκεῖ εἶναι ταῦτα, καὶ φύσει σοφὸς μὲν οὐδείς, γνώμην δ' ἔχειν καὶ σύνεσιν καὶ νοῦν. σημεῖον δ' 6
ὅτι καὶ ταῖς ἡλικίαις οἰόμεθα ἀκολουθεῖν, καὶ ἥδε ἡ ἡλικία νοῦν ἔχει καὶ γνώμην, ὡς τῆς φύσεως αἰτίας οὔσης. [διὸ καὶ ἀρχὴ καὶ τέλος νοῦς· ἐκ τούτων γὰρ αἱ ἀποδείξεις καὶ περὶ τούτων.] ὥστε δεῖ προσέχειν τῶν ἐμπείρων καὶ πρεσβυτέρων ἢ φρονίμων ταῖς ἀναποδείκτοις φάσεσι καὶ δόξαις οὐχ ἧττον τῶν ἀποδείξεων· διὰ γὰρ τὸ ἔχειν ἐκ τῆς ἐμπειρίας ὄμμα ὁρῶσιν ὀρθῶς. τί μὲν οὖν ἐστὶν ἡ 7
φρόνησις καὶ ἡ σοφία, καὶ περὶ τί ἑκατέρα τυγχάνει οὖσα, καὶ ὅτι ἄλλου τῆς ψυχῆς μορίου ἀρετὴ ἑκατέρα, εἴρηται.

13 Διαπορήσειε δ' ἄν τις περὶ αὐτῶν τί χρήσιμοί εἰσιν. XII.
ἡ μὲν γὰρ σοφία οὐδὲν θεωρήσει ἐξ ὧν ἔσται εὐδαίμων ἄνθρωπος (οὐδεμιᾶς γάρ ἐστι γενέσεως), ἡ δὲ φρόνησις τοῦτο μὲν ἔχει, ἀλλὰ τίνος ἕνεκα δεῖ αὐτῆς; εἴπερ ἡ μὲν φρόνησίς ἐστιν ἡ περὶ τὰ δίκαια καὶ καλὰ καὶ ἀγαθὰ ἀνθρώπῳ, ταῦτα δ' ἐστὶν ἃ τοῦ ἀγαθοῦ ἐστὶν ἀνδρὸς πράττειν, οὐδὲν δὲ πρακτικώτεροι τῷ εἰδέναι αὐτά ἐσμεν, εἴπερ ἕξεις αἱ ἀρεταί εἰσιν, ὥσπερ οὐδὲ τὰ ὑγιεινὰ οὐδὲ τὰ εὐεκτικά, ὅσα μὴ τῷ ποιεῖν ἀλλὰ τῷ ἀπὸ τῆς ἕξεως εἶναι λέγεται· οὐθὲν γὰρ πρακτικώτεροι τῷ ἔχειν τὴν ἰατρικὴν καὶ γυμναστικὴν ἐσμεν. εἰ δὲ μὴ τούτων χάριν φρόνιμον ῥητέον ἀλλὰ 2
τοῦ γίνεσθαι, τοῖς οὖσι σπουδαίοις οὐθὲν ἂν εἴη χρήσιμος· ἔτι δ' οὐδὲ τοῖς μὴ ἔχουσιν· οὐδὲν γὰρ διοίσει αὐτοὺς ἔχειν ἢ ἄλλοις ἔχουσι πείθεσθαι, ἱκανῶς τ' ἔχοι ἂν ἡμῖν ὥσπερ καὶ περὶ τὴν ὑγίειαν· βουλόμενοι γὰρ ὑγιαίνειν ὅμως οὐ

---

7. ἔχει M^b Γ 9. διὸ—11. τούτων alieno loco posita videntur 10. αἱ om. K^b 14. ὀρθῶς L^b: ἀρχάς K^b M^b Γ 15. τίνα L^b Γ 19. θεωρεῖ L^b Γ 22. ἡ om. L^b 28. θετέον L^b Γ 29. χρήσιμον K^b L^b 30. ἔχουσιν] οὖσιν Argyropylus αὐτοῖς K^b M^b

Bunun için bunların doğal olduğu düşünülüyor. Oysa doğal olarak bilge olan hiçkimse yok, ama anlayış, doğru yargılama ve us edinilebilir. Kanıtı da şu: Bunlar yaşla birlikte gider, neden doğa olduğundan ötürü; yaş, us ve anlayış taşır diye düşünürüz. <Bunun için us hem başlangıç hem sonuçtur. Kanıtlamalar bu ilkelerden yola çıkarak ve bu öğelerle ilgili olarak gerçekleşir>. Dolayısıyla deneyimli kişilerin, yaşlıların ya da aklı başında kişilerin kanıtlanmamış görüşlerine ve kanılarına kanıtlamalardan daha az değer vermemek gerekir. Çünkü onlar deneyime dayanan bakışlarıyla sağ bir şekilde görürler. İmdi aklı başındalık, bilgelik ne, ne ile ilgililer, bunu söyledik ve ikisinin de ruhun değişik bir yanıyla ilgili erdem olduğunu belirttik.

İmdi bunların yararı ne, bu sorulabilir. Bilgelik, onlar aracılığıyla insanın mutlu olacağı bir şeye bakmıyor (hiçbir oluşla ilgili değil), aklı başındalık ise bununla ilgili ama ona ne için gerek var? Aklı başındalık insan için adil, güzel ve iyi şeylerle ilgili ise, bunlar da iyi bir kişinin yapması gereken şeyler ise, erdemler, sağlık ve sağlam yapılılıkla ilgili şeyler gibi, uygulamanın değil, bir huy sonucunda böyle olmanın söz konusu olduğu şeyler gibi huylar ise, bunları bilmekle biz hiçbir zaman daha uygulayıcı kişiler olamayız. Çünkü tıp bilimini ya da beden eğitimini bilmekle biz hiç de daha uygulayıcı olmayız. Aklı başındalığın amacının bunlar değil, aklı başında olmayı sağlamak olduğunu söylemek gerekiyorsa, zaten erdemli olanlar için hiçbir yararı olmaz. Ama erdemli olmayanlar için de yararı olmaz, çünkü bunların aklı başındalığa sahip olmaları ya da ona sahip olanlara boyun eğmeleri hiç fark etmeyecek, sağlık konusunda da olduğu gibi, bu bize yeterli olabilecektir: Nitekim sağlıklı olmak isteriz ama bunun için tıp

3 μανθάνομεν ἰατρικήν. πρὸς δὲ τούτοις ἄτοπον ἂν εἶναι δό-
ξειεν, εἰ χείρων τῆς σοφίας οὖσα κυριωτέρα αὐτῆς ἔσται·
ἡ γὰρ ποιοῦσα ἄρχει καὶ ἐπιτάττει περὶ ἕκαστον. περὶ δὴ 35
τούτων λεκτέον· νῦν μὲν γὰρ ἠπόρηται περὶ αὐτῶν μόνον.
4 πρῶτον μὲν οὖν λέγωμεν ὅτι καθ' αὑτὰς ἀναγκαῖον αἱρετὰς 1144ᵃ
αὐτὰς εἶναι, ἀρετάς γ' οὔσας ἑκατέραν ἑκατέρου τοῦ μορίου, καὶ
5 εἰ μὴ ποιοῦσι μηδὲν μηδετέρα αὐτῶν. ἔπειτα καὶ ποιοῦσι
μέν, οὐχ ὡς ἡ ἰατρικὴ δὲ ὑγίειαν, ἀλλ' ὡς ἡ ὑγίεια, οὕτως
ἡ σοφία εὐδαιμονίαν· μέρος γὰρ οὖσα τῆς ὅλης ἀρετῆς 5
6 τῷ ἔχεσθαι ποιεῖ καὶ †τῷ ἐνεργεῖν εὐδαίμονα.† ἔτι τὸ ἔργον
ἀποτελεῖται κατὰ τὴν φρόνησιν καὶ τὴν ἠθικὴν ἀρετήν· ἡ
μὲν γὰρ ἀρετὴ τὸν σκοπὸν ποιεῖ ὀρθόν, ἡ δὲ φρόνησις τὰ
πρὸς τοῦτον. τοῦ δὲ τετάρτου μορίου τῆς ψυχῆς οὐκ ἔστιν
ἀρετὴ τοιαύτη, τοῦ θρεπτικοῦ· οὐδὲν γὰρ ἐπ' αὐτῷ πράτ- 10
7 τειν ἢ μὴ πράττειν. περὶ δὲ τοῦ μηθὲν εἶναι πρακτικωτέ-
ρους διὰ τὴν φρόνησιν τῶν καλῶν καὶ δικαίων, μικρὸν ἄνω-
θεν ἀρκτέον, λαβόντας ἀρχὴν ταύτην. ὥσπερ γὰρ καὶ τὰ
δίκαια λέγομεν πράττοντάς τινας οὔπω δικαίους εἶναι, οἷον
τοὺς τὰ ὑπὸ τῶν νόμων τεταγμένα ποιοῦντας ἢ ἄκοντας 15
ἢ δι' ἄγνοιαν ἢ δι' ἕτερόν τι καὶ μὴ δι' αὐτά (καίτοι πράτ-
τουσί γε ἃ δεῖ καὶ ὅσα χρὴ τὸν σπουδαῖον), οὕτως, ὡς
ἔοικεν, ἔστι τὸ πῶς ἔχοντα πράττειν ἕκαστα ὥστ' εἶναι ἀγα-
θόν, λέγω δ' οἷον διὰ προαίρεσιν καὶ αὐτῶν ἕνεκα τῶν
8 πραττομένων. τὴν μὲν οὖν προαίρεσιν ὀρθὴν ποιεῖ ἡ ἀρετή, 20
τὸ δ' ὅσα ἐκείνης ἕνεκα πέφυκε πράττεσθαι οὐκ ἔστι τῆς
ἀρετῆς ἀλλ' ἑτέρας δυνάμεως. λεκτέον δ' ἐπιστήσασι σα-
9 φέστερον περὶ αὐτῶν. ἔστι δὴ δύναμις ἣν καλοῦσι δει-

1144ᵃ 1. λέγωμεν K^b: λέγομεν vulg. 2. ἑκατέρας K^b Γ 3. καὶ ποιουσῶν K^b 4. ἡ ante ἰατρικὴ add. K^b 6. τῷ ἐνεργεῖν] ἐνέργεια pr. K^b εὐδαιμονία K^{rl}: εὐδαιμονίαν L^b: τὸν εὐδαίμονα M^b Γ 10. ἐφ' ἑαυτῷ L^b 23. δὴ K^b M^b: δή τις L^b Γ

eğitimi görmeyiz. Bunların ötesinde bilgelikten daha aşağı olan aklı başındalık, ondan daha asıl olsa bu garip bir şey olur. Nitekim yaratıcı erdem yöneticidir ve her şey konusunda yaptırım koyar. O halde bunlar üzerine konuşmak gerekiyor. Çünkü şu anda yalnızca onlar hakkındaki sorular dile getirildi. İmdi ilkin şunu söyleyelim: Onlardan hiçbiri hiçbir şey yaratmasa bile, madem herbir erdem <ruhun> herbir parçasına özgü, onların kendi başlarına araştırılması zorunlu. Ayrıca onlar yaratırlar, ama tıp biliminin değil, sağlığın sağlık yaratması gibi, bilgelik de mutluluk yaratır. Nitekim erdemin bütününün bir parçası olduğu için sahip olmakla ve eylemekle mutluluk sağlar. Öte yandan eser, aklı başındalığa ve karakter erdemine uygun olarak tamamlanır. Erdem, amacı sağın kılar, aklı başındalık da bu amaçla ilgili olan şeyleri. Ruhun besleyici dördündü kısmında böyle bir erdem yok, çünkü bir şey yaratmak ya da yaratmamak ona bağlı değil. Bu ilkeden hareket ederek aklı başındalık aracılığıyla güzel ve adil gerçekleşen hiçbir şey olmadığı konusunu iyice deşmek gerekiyor. Nasıl yasalar tarafından buyurulmuş şeyleri istemeyerek, bilgisizlikten ötürü ya da kendileri için değil, başka bir şey için yapanlar (yine de gereken şeyleri ve erdemli kişinin yapması gereken şeyleri yaparlar) gibi bazı kişilerin adilce şeyler yapsalar bile adil olmadıklarını söylüyorsak, aynı şekilde, göründüğü gibi, her eylemin iyi olacak şekilde nasıl yapılacağı bir biçimde belli. Kastettiğim şu: Sözgelişi tercih yoluyla ve yapılan şeylerin kendileri için yapmak. İmdi erdem, tercihi sağ kılar, tercihten ötürü doğal olarak gerçekleştirme ise erdemin değil başka bir yetinin işi. Daha açıkça görmek için bunlar üzerinde durmak gerekiyor. Beceriklilik diye adlandırdığımız bir yeti var:

νότητα· αὕτη δ' ἐστὶ τοιαύτη ὥστε τὰ πρὸς τὸν ὑποτεθέντα
σκοπὸν συντείνοντα δύνασθαι ταῦτα πράττειν καὶ τυγχάνειν αὐτοῦ. ἂν μὲν οὖν ὁ σκοπὸς ᾖ καλός, ἐπαινετή ἐστιν, ἐὰν δὲ φαῦλος, πανουργία· διὸ καὶ τοὺς φρονίμους δεινοὺς καὶ πανούργους φαμὲν εἶναι. ἔστι δ' ἡ φρόνησις οὐχ ἡ δύ- 10
νάμις, ἀλλ' οὐκ ἄνευ τῆς δυνάμεως ταύτης. ἡ δ' ἕξις τῷ ὄμματι τούτῳ γίνεται τῆς ψυχῆς οὐκ ἄνευ ἀρετῆς, ὡς εἴρηταί τε καὶ ἔστι δῆλον· οἱ γὰρ συλλογισμοὶ τῶν πρακτῶν ἀρχὴν ἔχοντές εἰσιν, ἐπειδὴ τοιόνδε τὸ τέλος καὶ τὸ ἄριστον, ὁτιδήποτε ὄν (ἔστω γὰρ λόγου χάριν τὸ τυχόν)· τοῦτο δ' εἰ μὴ τῷ ἀγαθῷ, οὐ φαίνεται· διαστρέφει γὰρ ἡ μοχθηρία καὶ διαψεύδεσθαι ποιεῖ περὶ τὰς πρακτικὰς ἀρχάς. ὥστε φανερὸν ὅτι ἀδύνατον φρόνιμον εἶναι μὴ ὄντα
1144 b ἀγαθόν. Σκεπτέον δὴ πάλιν καὶ περὶ ἀρετῆς· καὶ γὰρ ἡ XIII
ἀρετὴ παραπλησίως ἔχει ὡς ἡ φρόνησις πρὸς τὴν δεινότητα —οὐ ταὐτὸ μέν, ὅμοιον δέ—οὕτω καὶ ἡ φυσικὴ ἀρετὴ πρὸς τὴν κυρίαν. πᾶσι γὰρ δοκεῖ ἕκαστα τῶν ἠθῶν ὑπάρχειν φύσει πως· καὶ γὰρ δίκαιοι καὶ σωφρονικοὶ καὶ ἀνδρεῖοι καὶ τἆλλα ἔχομεν εὐθὺς ἐκ γενετῆς· ἀλλ' ὅμως ζητοῦμεν ἕτερόν τι τὸ κυρίως ἀγαθὸν καὶ τὰ τοιαῦτα ἄλλον τρόπον ὑπάρχειν. καὶ γὰρ παισὶ καὶ θηρίοις αἱ φυσικαὶ ὑπάρχουσιν ἕξεις, ἀλλ' ἄνευ νοῦ βλαβεραὶ φαίνονται οὖσαι. πλὴν τοσοῦτον ἔοικεν ὁρᾶσθαι, ὅτι ὥσπερ σώματι ἰσχυρῷ ἄνευ ὄψεως κινουμένῳ συμβαίνει σφάλλεσθαι ἰσχυρῶς διὰ τὸ μὴ ἔχειν ὄψιν, οὕτω καὶ ἐνταῦθα· ἐὰν δὲ λάβῃ νοῦν, 2
ἐν τῷ πράττειν διαφέρει· ἡ δ' ἕξις ὁμοία οὖσα τότ' ἔσται κυρίως ἀρετή. ὥστε καθάπερ ἐπὶ τοῦ δοξαστικοῦ δύο ἐστὶν εἴδη, δεινότης καὶ φρόνησις, οὕτω καὶ ἐπὶ τοῦ ἠθικοῦ δύο

---

26. αὐτοῦ scripsi: αὐτῶν codd. 28. δύναμις] δεινότης M^b 31. τε om. K^b M^b 1144^b 12. δὴ om. K^b

Bu yeti tercih ettiğimiz amaca giden şeyleri yapmayı ve o amaca ulaşmayı olanaklı kılar. İmdi amaç güzelse övülecek bir yeti ama amaç kötü ise kurnazlık yetisine dönüşür. Bunun için biz aklı başında kişilerin yaman ve kurnaz kişiler olduğunu söyleriz. Oysa aklı başındalık bir yeti değil, ama bu yetiden de bağımsız değil. İmdi söylediğimiz gibi ve açık olduğu gibi, huy erdemden bağımsız olmayan bu ruh görünüşüyle oluşur. Nitekim yapılan şeylerin açıklamalarının ilkesi şu: "Çünkü şu tür bir amaç ve en iyisi". Amaç ne olursa olsun bu böyle (sözkonusu şey bir temellendirme için olacaktır). Ne ki, bu bir iyi için değilse, böyle görünmez. Çünkü kötülük, uygulayıcı ilkeler konusunda da yanlışa düşürür. Dolayısıyla "iyi" yoksa aklı başında olmak olanaksız, bu açık. Yeniden erdem üzerinde duralım: Aklı başındalığın beceriklilikle nasıl bir yakınlığı varsa – aynı şey değil ama bir benzerlik taşıyor – doğal bir erdemin de asıl olan erdemle ilgisi öyle. Alışkanlıklarımızdan herbirini bir biçimde doğal olarak kazandığımız görülüyor. Çünkü daha doğuştan itibaren adil, ölçülü, yiğit oluyoruz ya da öteki alışkanlıkları kazanıyoruz. Yine de asıl iyi olarak aradığımız başka bir şey ve bu tür şeyler başka bir tarzda bulunur diye düşünüyoruz. Nitekim doğal huylar çocuklarda ve vahşi hayvanlarda da bulunur, ama ustan bağımsız olunca zarar verici oldukları görülüyor. Bu bir yana, nasıl görmeyen koca bir gövde hareket ederken, görme duyusundan yoksun olduğundan ötürü sağa sola çarparsa, burada da aynı şey olacağını kestirmek gerekir. Oysa us taşırsa eylem sırasında farklı olur ve huy doğal olana benzer olmasına karşın, o zaman asıl anlamda erdem olur. Dolayısıyla nasıl sanı ile ilgili yanda beceriklilik ve aklı başındalık olmak üzere iki tür varsa, aynı şekilde karakterle ilgili olan yanda da

ἐστί, τὸ μὲν ἀρετὴ φυσικὴ τὸ δ' ἡ κυρία, καὶ τούτων ἡ
3 κυρία οὐ γίνεται ἄνευ φρονήσεως. διόπερ τινές φασι πά-
σας τὰς ἀρετὰς φρονήσεις εἶναι, καὶ Σωκράτης τῇ μὲν
ὀρθῶς ἐζήτει τῇ δ' ἡμάρτανεν· ὅτι μὲν γὰρ φρονήσεις ᾤετο
εἶναι πάσας τὰς ἀρετάς, ἡμάρτανεν, ὅτι δ' οὐκ ἄνευ φρο-
4 νήσεως, καλῶς ἔλεγεν. σημεῖον δέ· καὶ γὰρ νῦν πάντες,
ὅταν ὁρίζωνται τὴν ἀρετήν, προστιθέασι, τὴν ἕξιν εἰπόντες
καὶ πρὸς ἃ ἐστι, τὴν κατὰ τὸν ὀρθὸν λόγον· ὀρθὸς δ' ὁ
κατὰ τὴν φρόνησιν. ἐοίκασι δὴ μαντεύεσθαί πως ἅπαντες
5 ὅτι ἡ τοιαύτη ἕξις ἀρετή ἐστιν, ἡ κατὰ τὴν φρόνησιν. δεῖ
δὲ μικρὸν μεταβῆναι. ἔστι γὰρ οὐ μόνον ἡ κατὰ τὸν ὀρθὸν
λόγον, ἀλλ' ἡ μετὰ τοῦ ὀρθοῦ λόγου ἕξις ἀρετή ἐστιν· ὀρθὸς
δὲ λόγος περὶ τῶν τοιούτων ἡ φρόνησίς ἐστιν. Σωκράτης
μὲν οὖν λόγους τὰς ἀρετὰς ᾤετο εἶναι (ἐπιστήμας γὰρ εἶναι
6 πάσας), ἡμεῖς δὲ μετὰ λόγου. δῆλον οὖν ἐκ τῶν εἰρημένων
ὅτι οὐχ οἷόν τε ἀγαθὸν εἶναι κυρίως ἄνευ φρονήσεως, οὐδὲ
φρόνιμον ἄνευ τῆς ἠθικῆς ἀρετῆς. ἀλλὰ καὶ ὁ λόγος
ταύτῃ λύοιτ' ἄν, ᾧ διαλεχθείη τις ἂν ὅτι χωρίζονται ἀλ-
λήλων αἱ ἀρεταί· οὐ γὰρ ὁ αὐτὸς εὐφυέστατος πρὸς ἁπά-
σας, ὥστε τὴν μὲν ἥδη τὴν δ' οὔπω εἰληφὼς ἔσται· τοῦτο
γὰρ κατὰ μὲν τὰς φυσικὰς ἀρετὰς ἐνδέχεται, καθ' ἃς
δὲ ἁπλῶς λέγεται ἀγαθός, οὐκ ἐνδέχεται· ἅμα γὰρ τῇ 1145ᵃ
7 φρονήσει μιᾷ ὑπαρχούσῃ πᾶσαι ὑπάρξουσιν. δῆλον δέ, κἂν
εἰ μὴ πρακτικὴ ἦν, ὅτι ἔδει ἂν αὐτῆς διὰ τὸ τοῦ μορίου
ἀρετὴν εἶναι, καὶ ὅτι οὐκ ἔσται ἡ προαίρεσις ὀρθὴ ἄνευ
φρονήσεως οὐδ' ἄνευ ἀρετῆς· ἡ μὲν γὰρ τὸ τέλος ἡ δὲ
8 τὰ πρὸς τὸ τέλος ποιεῖ πράττειν. ἀλλὰ μὴν οὐδὲ κυρία
γ' ἐστὶ τῆς σοφίας οὐδὲ τοῦ βελτίονος μορίου, ὥσπερ οὐδὲ

---

16. φυσικὴ] ἠθικὴ K^b 26. ἔστι γὰρ οὐ] οὐ γὰρ L^b Γ 1145ᵃ 2. ὑπαρχούσῃ $K^b M^b$: οὔσῃ L^b 3. ἂν om. $K^b M^b$ 6. τὰ om. K^b

doğal erdem ve asıl erdem olmak üzere iki tür vardır ve bunlardan asıl olanı aklı başındalıktan bağımsız olamaz. Bunun için kimileri, bütün erdemlerin aklı başındalık olduğunu söylerler ve bu konuda Sokrates de sorgularken bir açıdan doğru söylüyordu, bir açıdan yanlışa düşüyordu. Bütün erdemlerin aklı başındalık olduğuna inanırken yanlışa düşüyordu, aklı başındalıktan bağımsız olamayacaklarını söylerken de yerinde konuşuyordu. Şu bir kanıt: Şimdilerde de herkes erdemi belirlerken bir huy olduğuna ve 'neye göre' olduğu konusunda da 'sağ akla göre' olduğuna katılıyor. Sağ akıl ise aklı başındalığa uygun olan. İmdi öyle görünüyor ki, herkes bir biçimde şunu söylüyor: Erdem aklı başındalığa uygun böyle bir huy. Ama küçük bir şey eklemek gerekiyor: Yalnızca sağ akla uygun değildir, aynı zamanda sağ akılla birlikte giden bir huydur erdem. Sağ akıl ise bu tür şeyler konusundaki aklı başındalıktır. O halde Sokrates erdemlerin, kimi akıl yürütmeler olduğuna inanıyor (çünkü hepsinin bilim olduğunu söylüyordu), oysa biz akılla gittiğini söylüyoruz. İmdi söylediklerimizden açık ki, aklı başındalıktan bağımsız asıl anlamda iyi olmak ve karakter erdeminden bağımsız aklı başında olmak olanaksızdır. Bu şekilde erdemlerin birbirlerinden ayrıldıklarının onunla kanıtlanabileceği bir sav da çürütülebilir. Çünkü aynı kişi bütün erdemlerle ilgili olarak çok iyi donatılmış değildir, dolayısıyla kimini elde etmiş, kimini ise henüz elde etmemiş olabilir. Bu doğal erdemlerde olası, ama kişinin onlara göre mutlak anlamda iyi diye belirlendiği erdemlerde olası değil. Çünkü bir tek aklı başındalık bulunduğunda aynı anda bütün aklı başındalıklar da bulunur. Şu açık: Aklı başındalık uygulamayla ilgili olmasaydı bile, gerekli olurdu, çünkü ruhun bir yanının erdemidir ve aklı başındalıktan ve erdemden bağımsız sağ tercih olamaz. Nitekim biri amacı, öteki amaçla ilgili şeyleri uygulamayı gösterir. Ne ki, nasıl hekimlik sağlıktan önce gelmezse, aklı başındalık da bilgelikten ya da ruhun daha iyi bir

τῆς ὑγιείας ἡ ἰατρική· οὐ γὰρ χρῆται αὐτῇ, ἀλλ' ὁρᾷ ὅπως γένηται· ἐκείνης οὖν ἕνεκα ἐπιτάττει, ἀλλ' οὐκ ἐκείνῃ. ἔτι ὅμοιον κἂν εἴ τις τὴν πολιτικὴν φαίη ἄρχειν τῶν θεῶν, ὅτι ἐπιτάττει περὶ πάντα τὰ ἐν τῇ πόλει.

H.

Μετὰ δὲ ταῦτα λεκτέον, ἄλλην ποιησαμένους ἀρχήν, ὅτι τῶν περὶ τὰ ἤθη φευκτῶν τρία ἐστὶν εἴδη, κακία ἀκρασία θηριότης. τὰ δ' ἐναντία τοῖς μὲν δυσὶ δῆλα· τὸ μὲν γὰρ ἀρετὴν τὸ δ' ἐγκράτειαν καλοῦμεν· πρὸς δὲ τὴν θηριότητα μάλιστ' ἂν ἁρμόττοι λέγειν τὴν ὑπὲρ ἡμᾶς ἀρετήν, ἡρωικήν τινα καὶ θείαν, ὥσπερ Ὅμηρος περὶ ⟨τοῦ⟩ Ἕκτορος πεποίηκε λέγοντα τὸν Πρίαμον ὅτι σφόδρα ἦν ἀγαθός, "οὐδὲ ἐῴκει ἀνδρός γε θνητοῦ πάις ἔμμεναι ἀλλὰ θεοῖο." ὥστ' εἰ, καθάπερ φασίν, ἐξ ἀνθρώπων γίνονται θεοὶ δι' ἀρετῆς ὑπερβολήν, τοιαύτη τις ἂν εἴη δῆλον ὅτι ἡ τῇ θηριώδει ἀντιτιθεμένη ἕξις· καὶ γὰρ ὥσπερ οὐδὲ θηρίου ἐστὶ κακία οὐδ' ἀρετή, οὕτως οὐδὲ θεοῦ, ἀλλ' ἡ μὲν τιμιώτερον ἀρετῆς, ἡ δ' ἑτερόν τι γένος κακίας. ἐπεὶ δὲ σπάνιον καὶ τὸ θεῖον ἄνδρα εἶναι, καθάπερ οἱ Λάκωνες εἰώθασι προσαγορεύειν, ⟨οἱ⟩ ὅταν ἀγασθῶσι σφόδρα του, σεῖος ἀνήρ φασιν, οὕτω καὶ ὁ θηριώδης ἐν τοῖς ἀνθρώποις σπάνιος· μάλιστα δ' ἐν τοῖς βαρβάροις ἐστίν, γίνεται δ' ἔνια καὶ διὰ νόσους καὶ πηρώσεις· καὶ τοὺς διὰ κακίαν δὲ τῶν ἀνθρώπων ὑπερβάλλοντας οὕτως ἐπιδυσφημοῦμεν. ἀλλὰ περὶ μὲν τῆς διαθέσεως τῆς τοιαύτης ὕστερον ποιητέον τινὰ μνείαν, περὶ δὲ κακίας εἴρηται πρότερον· περὶ δὲ ἀκρασίας καὶ μαλακίας καὶ τρυ-

---

8. ἡ om. $K^h M^b$ 15. δὲ om. K^b 20. τοῦ addidi 24. θηριωδία $l.^b$ Γ 29. οἱ addidi 31. γίνονται δ' ἔνιοι Γ 33. τῆς τοιαύτης διαθέσεως L^b

kısmından önce gelmez. Çünkü hekimlik sağlığı kullanmaz, onun nasıl oluşacağını görür. O halde ona buyurmaz, 'onun için' buyurur. Ayrıca "kentteki herşeyi denetlediği için siyaset tanrıları da yönetir" denmesine benzer bir şey olurdu.

YEDİNCİ KİTAP

Bunlardan sonra başka bir başlangıç noktası alıp kaçınılması gereken alışkanlıklarla ilgili üç türden sözetmeliyiz: Kötülük, kendine egemen olmama ve "canavarlık". Bunların karşıtlarından ikisi açık: Birine "erdem", ötekine "kendine egemen olma" diyoruz. Canavarlığın karşıtı olarak bizim üstümüzde, kahramanca ve tanrıca bir erdem uygun olabilir: Tıpkı Homeros Priamos'a, Hektor'un çok değerli olduğunu söyletirken *"ölümlü bir adamın oğluna değil, bir tanrınınkine benziyordu"*[61] dedirtmesi gibi. Dolayısıyla söylendiği gibi tanrılar erdem aşkınlığıyla insanlar arasından çıkıyorlarsa, böyle bir huyun canavarlığa karşıt huy olacağı açık. Nasıl vahşi bir hayvanda bir kötülük ya da erdem olmazsa, aynı şekilde bir tanrıda da olmaz. Berikininki erdemden daha değerli bir şey, ilkininki ise başka tür bir kötülük. Tanrısal bir insan pek ender varolduğu için, Lakonlar birine pek çok hayranlık duyduklarında nasıl "tanrısal adam" derlerse, aynı şekilde insanlar arasında da canavara pek rastlanmaz, daha çok yabancılar arasında bulunur. Kimileri de bir hastalıktan ya da bir illetten ötürü böyle olurlar. Ayrıca kötülükleriyle sınırı aşan insanları da böyle adlandırıyoruz. Ama bu tür tutum üzerine daha sonra kısaca duracağız, kötülük üzerine de daha önce sözetmiştik. Şimdi kendine egemen olmama, zayıflık,

φῆς λεκτέον, καὶ περὶ ἐγκρατείας καὶ καρτερίας· οὔτε γὰρ
ὡς περὶ τῶν αὐτῶν ἕξεων τῇ ἀρετῇ καὶ τῇ μοχθηρίᾳ ἑκα- 1145ᵇ
τέραν αὐτῶν ὑπολεπτέον, οὔθ' ὡς ἕτερον γένος. δεῖ δ',
ὥσπερ ἐπὶ τῶν ἄλλων, τιθέντας τὰ φαινόμενα καὶ πρῶ-
τον διαπορήσαντας οὕτω δεικνύναι μάλιστα μὲν πάντα τὰ
ἔνδοξα περὶ ταῦτα τὰ πάθη, εἰ δὲ μή, τὰ πλεῖστα καὶ
κυριώτατα· ἐὰν γὰρ λύηταί τε τὰ δυσχερῆ καὶ κατα-
λείπηται τὰ ἔνδοξα, δεδειγμένον ἂν εἴη ἱκανῶς.

ὁ Δοκεῖ δὴ ἥ τε ἐγκράτεια καὶ καρτερία τῶν σπουδαίων 2
καὶ [τῶν] ἐπαινετῶν εἶναι, ἡ δ' ἀκρασία τε καὶ μαλακία
τῶν φαύλων καὶ ψεκτῶν, καὶ ὁ αὐτὸς ἐγκρατὴς καὶ
ἐμμενετικὸς τῷ λογισμῷ, καὶ ἀκρατὴς καὶ ἐκστατικὸς τοῦ
λογισμοῦ. καὶ ὁ μὲν ἀκρατὴς εἰδὼς ὅτι φαῦλα πράττει διὰ
πάθος, ὁ δ' ἐγκρατὴς εἰδὼς ὅτι φαῦλαι αἱ ἐπιθυμίαι οὐκ
ἀκολουθεῖ διὰ τὸν λόγον. καὶ τὸν σώφρονα μὲν ἐγκρατῆ καὶ
καρτερικόν, τὸν δὲ τοιοῦτον οἱ μὲν πάντα σώφρονα οἱ δ' οὔ,
καὶ τὸν ἀκόλαστον ἀκρατῆ καὶ τὸν ἀκρατῆ ἀκόλαστον συγκε-
7 χυμένως, οἱ δ' ἑτέρους εἶναί φασιν. τὸν δὲ φρόνιμον ὁτὲ μὲν
οὔ φασιν ἐνδέχεσθαι εἶναι ἀκρατῆ, ὁτὲ δ' ἐνίους φρονίμους
ὄντας καὶ δεινοὺς ἀκρατεῖς εἶναι. ἔτι ἀκρατεῖς λέγονται καὶ
θυμοῦ καὶ τιμῆς καὶ κέρδους. τὰ μὲν οὖν λεγόμενα ταῦτ' ἐστίν.

II. Ἀπορήσειε δ' ἄν τις πῶς ὑπολαμβάνων ὀρθῶς ἀκρα- 3
τεύεταί τις. ἐπιστάμενον μὲν οὖν οὔ φασί τινες οἷόν τε
εἶναι· δεινὸν γὰρ ἐπιστήμης ἐνούσης, ὡς ᾤετο Σωκράτης,
ἄλλο τι κρατεῖν καὶ περιέλκειν αὐτὴν ὥσπερ ἀνδράποδον.
Σωκράτης μὲν γὰρ ὅλως ἐμάχετο πρὸς τὸν λόγον ὡς οὐκ
οὔσης ἀκρασίας· οὐθένα γὰρ ὑπολαμβάνοντα πράττειν παρὰ
2 τὸ βέλτιστον, ἀλλὰ δι' ἄγνοιαν. οὗτος μὲν οὖν ὁ λόγος

1145ᵇ 8. δ' $K^b M^b$ τε om. $K^b M^b$ 9. τῶν om. L^b 10. post φαύλων add. τε L^b 22. μὲν om. $K^b M^b$ 24. αὐτὴν K^b: αὐτὸν vulg.

"oburluk" ile kendine egemen olma ve sağlam karakterlikten sözedelim. Bu huyların biri erdem ve kötülükle aynı diye alınamaz, <birbirlerinden de> türce farklı değiller. Başka durumlarda da olduğu gibi görünen olguları ve daha önceki soruları ele alıp böylece bu etkilenimler konusundaki tüm genel kanıları olabildiğince göstermek gerek; hiç olmazsa en önemlilerini ve asıl olanlarını. Zorluklar çözümlenir, genel kanılar geride bırakılırsa yeterince gösterilmiş olacaktır. 1145b

Öyle görünüyor ki, kendine egemen olma ile sağlam karakterlilik erdemli, övülecek; kendine egemen olmama ile zayıflık çirkin ve yerilecek şeyler. Kendine egemen kişi akıl yürütmede tutarlı, kendine egemen olmayan kişi ise akıl yürütmede tutarsızdır. Kendine egemen olmayan kişi kötü olduğunu bile bile tutku nedeniyle eyler, kendine egemen kişi ise arzuların çirkin olduğunu bildiği için akıl yürütmesi sayesinde onlara uymaz. Ölçülü kişi kendine egemen olan, sağlam karakterli kişidir. Öte yandan bazı kimseler bu tür birinin hepten ölçülü olduğunu, bazı kimseler ise olmadığını; kimileri haz düşkünü insanın kendiliğinden kendine egemen olmayan kişi olduğunu, kendine egemen olmayan kişinin de kendiliğinden haz düşkünü olduğunu ileri sürer, kimileri de onların değişik olduklarını söyler. Bazan aklı başında kişinin kendine egemen olmayan bir kişi olamayacağı, bazan da kimi aklı başında ve becerikli kişilerin kendine egemen olmayan kişi olabildikleri söylenir. Ayrıca gösterişe, mevkiye, kazanca karşı da kendine egemen olamayan kimselerden sözedilir. İmdi söylenenler bunlar.

Ne ki, birinin nasıl olup da sağ düşünmesine karşın, kendine egemen olmadığı sorulabilir. Bazı kişiler bilgili bir insanın böyle olamayacağını söyler. Sokrates'in düşündüğü gibi, bilimin olduğu yerde başka bir şeyin hükmetmesi ve insanı bir köle gibi gütmesi korkunç bir şey. Nitekim Sokrates "kendine egemen olmama" kavramına karşı çıkıyordu ve böyle bir şeyin olmadığını açıklıyordu.[62] Çünkü o hiç kimsenin bilgiyle "daha iyi"ye aykırı eyleyemeyeceğine, bilgisizlikten ötürü bunu yapabileceğine inanıyordu. Oysa bu sav

ἀμφισβητεῖ τοῖς φαινομένοις ἐναργῶς, καὶ δέον ζητεῖν περὶ τὸ πάθος, εἰ δι' ἄγνοιαν, τίς ὁ τρόπος γίνεται τῆς ἀγνοίας. ὅτι γὰρ οὐκ οἴεταί γε ὁ ἀκρατευόμενος πρὶν ἐν τῷ πάθει γενέσθαι, φανερόν. εἰσὶ δέ τινες οἳ τὰ μὲν συγχωροῦσι τὰ δ' οὔ· τὸ μὲν γὰρ ἐπιστήμης μηθὲν εἶναι κρεῖττον ὁμολογοῦσιν, τὸ δὲ μηθένα πράττειν παρὰ τὸ δόξαν βέλτιον οὐχ ὁμολογοῦσιν, καὶ διὰ τοῦτο τὸν ἀκρατῆ φασὶν οὐκ ἐπιστήμην ἔχοντα κρατεῖσθαι ὑπὸ τῶν ἡδονῶν ἀλλὰ δόξαν. ἀλλὰ μὴν εἴγε δόξα καὶ μὴ ἐπιστήμη, μηδ' ἰσχυρὰ ὑπόληψις ἡ ἀντιτείνουσα ἀλλ' ἠρεμαία, καθάπερ ἐν τοῖς διστάζουσι, συγγνώμη τῷ μὴ μένειν ἐν αὑταῖς πρὸς ἐπιθυμίας ἰσχυράς· τῇ δὲ μοχθηρίᾳ οὐ συγγνώμη, οὐδὲ τῶν ἄλλων οὐδενὶ τῶν ψεκτῶν. φρονήσεως ἄρα ἀντιτεινούσης; αὕτη γὰρ ἰσχυρότατον. ἀλλ' ἄτοπον· ἔσται γὰρ ὁ αὐτὸς ἅμα φρόνιμος καὶ ἀκρατής, φήσειε δ' οὐδ' ἂν εἷς φρονίμου εἶναι τὸ πράττειν ἑκόντα τὰ φαυλότατα. πρὸς δὲ τούτοις δέδεικται πρότερον ὅτι πρακτικός γε ὁ φρόνιμος (τῶν γὰρ ἐσχάτων τις) καὶ τὰς ἄλλας ἔχων ἀρετάς. ἔτι εἰ μὲν ἐν τῷ ἐπιθυμίας ἔχειν ἰσχυρὰς καὶ φαύλας ὁ ἐγκρατής, οὐκ ἔσται ὁ σώφρων ἐγκρατὴς οὐδ' ὁ ἐγκρατὴς σώφρων· οὔτε γὰρ τὸ ἄγαν σώφρονος οὔτε τὸ φαύλας ἔχειν. ἀλλὰ μὴν δεῖ γε· εἰ μὲν γὰρ χρηστὰι αἱ ἐπιθυμίαι, φαύλη ἡ κωλύουσα ἕξις μὴ ἀκολουθεῖν, ὥσθ' ἡ ἐγκράτεια οὐ πᾶσα σπουδαία· εἰ δ' ἀσθενεῖς καὶ μὴ φαῦλαι, οὐθὲν σεμνόν, οὐδ' εἰ φαῦλαι καὶ ἀσθενεῖς, οὐδὲν μέγα. ἔτι εἰ πάσῃ δόξῃ ἐμμενετικὸν ποιεῖ ἡ ἐγκράτεια, φαύλη, οἷον εἰ καὶ τῇ ψευδεῖ· καὶ εἰ πάσης δόξης ἡ ἀκρασία ἐκστατικόν, ἔσται τις σπουδαία ἀκρασία, οἷον ὁ Σοφοκλέους Νεοπτόλεμος ἐν

---

28. fort. δέον ⟨γίνεται⟩ et infra 29 τίς ὁ τρόπος [γίνεται] 29. ὁ om. K^b 31. δή pr. K^b 1146ᵃ 6. φησὶ pr. K^b 8. τε M^b 15. σπουδαῖον K^b

görünenlere açıkça ters düşüyor. Aslında tutku üzerine araştırma yapmalı, bilgisizlikten ötürü oluşuyorsa, ne tarz bir bilgisizlikten ötürü oluştuğuna bakmalı. Kendine egemen olmayan kişi ancak tutku içinde olduğu zaman öyle olmaması gerektiğini düşünür, bu açık. Kimi kişiler bu görüşe bir yanıyla katılırken, bir yanıyla da katılmaz. Bunlar bir yandan hiçbir şeyin bilimden daha güçlü olmadığını kabul ediyorlar, öte yandan hiçkimsenin, kanısına göre daha iyi olan şeye aykırı eylemediği görüşüne katılmıyorlar. Bundan ötürü de kendine egemen olmayan kişinin bilgi değil, kanı taşıdığı için hazlar tarafından yönetildiğini ileri sürüyorlar. Ama onu güden bilim değil, kanı ise ve görüşleri kararsız kişilerdeki gibi, sağlam değil, değişken ise, güçlü arzular karşısında bu görüşlerinde direnmeyen kişi bağışlanabilir, demektir. Oysa kötülük için ve başka yerilecek bir şey için bağışlama olamaz. Acaba karşı duracak şey aklı başındalık mı? Çünkü o en güçlü şey. Ama bu garip, çünkü aynı kişi aynı anda hem aklı başında hem de kendine egemen olmayan kişi olacak, oysa bir kişi bile "son derece kötü şeyleri isteyerek yapmak aklı başında kişinin işidir" diyemez. Ayrıca aklı başında kişinin uygulayıcı olduğu (çünkü o en sondakilere ilişkin) ve öteki erdemleri de taşıdığı daha önce gösterilmişti. Öte yandan kendine egemen kişi hem güçlü hem de sefilce arzular taşıyacak olursa, ölçülü kişi kendine egemen kişi olamaz, kendine egemen kişi de ölçülü biri olamaz. Çünkü aşırı ve sefilce arzular taşımak ölçülü birinin işi değil. Oysa <bu sava göre> böyle olması gerekir. Çünkü arzular yararlıysa onları izlemeyi engelleyen huy kötüdür, dolayısıyla her kendine egemenlik erdemli olmayacaktır. Oysa arzular kötü değil, zayıf ise onlara karşı çıkmak hiç de önemli bir şey olmayacak, kötü ve zayıf ise yine bu önemli bir şey olmayacaktır. Öte yandan kendine egemenlik kanıda direşken kılıyorsa, sözgelişi yanlış bir kanı ile bunu yaparsa, kötü olur. Kendine egemen olmama her kanıya göre değişkense, Sophokles'in

τῷ Φιλοκτήτῃ· ἐπαινετὸς γὰρ οὐκ ἐμμένων οἷς ἐπείσθη ὑπὸ
8 τοῦ Ὀδυσσέως διὰ τὸ λυπεῖσθαι ψευδόμενος. ἔτι ὁ σοφι-
στικὸς λόγος [ψευδόμενος] ἀπορία· διὰ γὰρ τὸ παράδοξα
βούλεσθαι ἐλέγχειν, ἵνα δεινοὶ ὦσιν ὅταν ἐπιτύχωσιν, ὁ
γενόμενος συλλογισμὸς ἀπορία γίνεται· δέδεται γὰρ ἡ
διάνοια, ὅταν μένειν μὴ βούληται διὰ τὸ μὴ ἀρέσκειν
τὸ συμπεραυθέν, προϊέναι δὲ μὴ δύνηται διὰ τὸ λῦσαι μὴ
9 ἔχειν τὸν λόγον. συμβαίνει δὴ ἔκ τινος λόγου ἡ ἀφροσύνη
μετ' ἀκρασίας ἀρετή· τἀναντία γὰρ πράττει ὧν ὑπο-
λαμβάνει διὰ τὴν ἀκρασίαν, ὑπολαμβάνει δὲ τἀγαθὰ
κακὰ εἶναι καὶ οὐ δεῖν πράττειν, ὥστε τἀγαθὰ καὶ οὐ τὰ
10 κακὰ πράξει. ἔτι ὁ τῷ πεπεῖσθαι πράττων καὶ διώκων
τὰ ἡδέα καὶ προαιρούμενος βελτίων ἂν δόξειεν τοῦ μὴ διὰ
λογισμὸν ἀλλὰ δι' ἀκρασίαν· εὐιατότερος γὰρ διὰ τὸ με-
ταπεισθῆναι ἄν. ὁ δ' ἀκρατὴς ἔνοχος τῇ παροιμίᾳ ἐν ᾗ
φαμὲν "ὅταν τὸ ὕδωρ πνίγῃ, τί δεῖ ἐπιπίνειν;" εἰ μὲν γὰρ
ἐπέπειστο ἃ πράττει, μεταπεισθεὶς ἂν ἐπαύσατο· νῦν δὲ 1146 b
11 ⟨ἄλλα⟩ πεπεισμένος οὐδὲν ἧττον [ἄλλα] πράττει. ἔτι εἰ
περὶ πάντα ἀκρασία ἐστὶ καὶ ἐγκράτεια, τίς ὁ ἁπλῶς ἀκρατής;
οὐδεὶς γὰρ ἁπάσας ἔχει τὰς ἀκρασίας, φαμὲν δ' εἶναί τινας
ἁπλῶς.

12 Αἱ μὲν οὖν ἀπορίαι τοιαῦταί τινες συμβαίνουσιν, τούτων 4
δὲ τὰ μὲν ἀνελεῖν δεῖ τὰ δὲ καταλιπεῖν· ἡ γὰρ λύσις τῆς
III. ἀπορίας εὕρεσίς ἐστιν. Πρῶτον μὲν οὖν σκεπτέον πότερον
εἰδότες ἢ οὔ, καὶ πῶς εἰδότες· εἶτα περὶ ποῖα τὸν ἀκρατῆ
καὶ τὸν ἐγκρατῆ θετέον, λέγω δὲ πότερον περὶ πᾶσαν
ἡδονὴν καὶ λύπην ἢ περί τινας ἀφωρισμένας, καὶ τὸν
ἐγκρατῆ καὶ τὸν καρτερικόν, πότερον ὁ αὐτὸς ἢ ἕτερός

---

22. ψευδόμενος seclus. Coraes 25. post μένειν add. μὲν Aldina 27. δὴ scripsi: δ' codd. 30. κακὰ] καὶ κακὰ pr. K^b 35. post γὰρ add. μὴ L^b 1146^b 2. ἄλλα add. Ramsauer: οὐ (vel μὴ) Γ ἄλλα seclusi

Philoktetes'indeki Neoptolemos gibi erdemli bir kendine egemen olmama söz konusu olacaktır: Çünkü yalan ona acı verdiği için Odysseus tarafından kendisine kabul ettirilen konularda direşken olmadığından ötürü, övülecek bir kişidir. Öte yandan aldatıcı, sofistik temellendirme bir sorun yaratır: Başardıkları zaman becerikli gibi görünmek amacıyla aykırılığı göstermek istedikleri için ortaya çıkan sonuç ile bir sorun oluşur. Çünkü sonuçtan hoşlanılmamasından ötürü böyle kalmak istenmediği zaman, temellendirme ise bir çözüm taşımadığından ötürü ilerlenemediği için çıkarım yolu tıkanır. Bir temellendirmeyle kendine egemen olmamayla giden aklı başında olmamanın bir erdem olduğu sonucu çıkabilir. Nitekim kendine egemen olmama yüzünden düşündüğü şeylerin tersini yapar; iyi şeyleri kötü diye kabul edip, onları yapmamak gerektiğini düşünür, dolayısıyla kötü şeyler değil, iyi şeyler yapacaktır. Ayrıca hoş şeyler olduğuna inandığı için bunları yapıp izleyen ve tercih eden kişi, akıl yürütme ile değil, kendine egemen olmama yüzünden bunu yapan kişiden daha iyi görünse gerek. Çünkü onun fikri değişince iyileşmesi daha kolay. Oysa kendine egemen olmayan kişiye şu atasözü uyar: "Su soluğunu kestiği zaman, niçin içmeyi sürdürmeli". Nitekim ikna olduğu şeyleri yapıyor olsaydı, fikir değiştirince vazgeçerdi. Oysa şimdiki durumda <<başka>> şeylere inanmasına karşın, <<başka>> şeyler yapıyor. Öte yandan kendine egemen olmama ve kendine egemen olma herşeyle ilgili ise, asıl anlamda kendine egemen olmayan kişi kim? Çünkü hiçkimse bütün kendine egemen olmama özelliklerini taşımıyor, bazı kişilerin ise asıl anlamda kendi egemen olmadığını söylüyoruz.

İmdi söz konusu güçlükler bunlar. Bunların bir kısmını çözmek, bir kısmını da bir yana bırakmak gerekiyor. Bir sorunun bulunması onun çözümü. İmdi ilkin <kendine egemen olmayan kişilerin> bilerek mi, bilmeden mi; hangi anlamda bilerek davrandıklarını incelemek gerekiyor. Sonra kendine egemen olmayan ve kendine egemen olan kişinin nelerle ilgili olduğunu ortaya koymalı: Acaba her tür haz ve acıyla mı ilgili, yoksa belli kimi haz ve acılarla mı ilgilidir ve kendine egemen olan kişi ile sağlam karakterli kişi aynı mı yoksa değişik mi?

ἐστιν· ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ὅσα συγγενῆ τῆς θεωρίας ἐστὶ ταύτης. ἔστι δ' ἀρχὴ τῆς σκέψεως, πότερον 2
ὁ ἐγκρατὴς καὶ ὁ ἀκρατὴς εἰσι τῷ περὶ ἃ ἢ τῷ ὡς ἔχοντες τὴν διαφοράν, λέγω δὲ πότερον τῷ περὶ ταδὶ εἶναι μόνον ἀκρατὴς ὁ ἀκρατής, ἢ οὐ ἀλλὰ τῷ ὥς, ἢ οὐ ἀλλ' ἐξ ἀμφοῖν· ἔπειτ' εἰ περὶ πάντ' ἐστὶν ἀκρασία καὶ ἐγκράτεια ἢ οὔ. οὔτε γὰρ περὶ ἅπαντ' ἐστὶν ὁ ἁπλῶς ἀκρατής, ἀλλὰ περὶ ἅπερ ὁ ἀκόλαστος, οὔτε τῷ πρὸς ταῦτα ἁπλῶς ἔχειν (ταὐτὸν γὰρ ἂν ἦν τῇ ἀκολασίᾳ), ἀλλὰ τῷ ὠδὶ ἔχειν. ὁ μὲν γὰρ ἄγεται προαιρούμενος, νομίζων ἀεὶ δεῖν τὸ παρὸν ἡδὺ διώκειν· ὁ δ' οὐκ οἴεται μέν, διώκει δέ. Περὶ μὲν οὖν τοῦ δόξαν ἀληθῆ ἀλλὰ μὴ ἐπιστήμην 3
εἶναι παρ' ἣν ἀκρατεύονται, οὐδὲν διαφέρει πρὸς τὸν λόγον· ἔνιοι γὰρ τῶν δοξαζόντων οὐ διστάζουσιν, ἀλλ' οἴονται ἀκριβῶς εἰδέναι. εἰ οὖν διὰ τὸ ἠρέμα πιστεύειν οἱ δοξάζοντες μᾶλλον τῶν ἐπισταμένων παρὰ τὴν ὑπόληψιν πράξουσιν, οὐθὲν διοίσει ἐπιστήμη δόξης· ἔνιοι γὰρ πιστεύουσιν οὐδὲν ἧττον οἷς δοξάζουσιν ἢ ἕτεροι οἷς ἐπίστανται· δηλοῖ δ' Ἡράκλειτος. ἀλλ' ἐπεὶ διχῶς λέγομεν τὸ ἐπίστασθαι (καὶ γὰρ 5
ὁ ἔχων μὲν οὐ χρώμενος δὲ τῇ ἐπιστήμῃ καὶ ὁ χρώμενος λέγεται ἐπίστασθαι), διοίσει τὸ ἔχοντα μὲν μὴ θεωροῦντα δὲ καὶ τὸ θεωροῦντα ἃ μὴ δεῖ πράττειν [τοῦ ἔχοντα καὶ θεωροῦντα]· τοῦτο γὰρ δοκεῖ δεινόν, ἀλλ' οὐκ εἰ μὴ θεωρῶν. ἔτι ἐπεὶ δύο 6
1147a τρόποι τῶν προτάσεων, ἔχοντα μὲν ἀμφοτέρας οὐδὲν κωλύει πράττειν παρὰ τὴν ἐπιστήμην, χρώμενον μέντοι τῇ καθόλου ἀλλὰ μὴ τῇ κατὰ μέρος· πρακτὰ γὰρ τὰ καθ' ἕκαστα. διαφέρει δὲ καὶ τὸ καθόλου· τὸ μὲν γὰρ ἐφ' ἑαυτοῦ τὸ δ' ἐπὶ τοῦ πράγματός ἐστιν· οἷον ὅτι παντὶ ἀνθρώπῳ

15. ὡς scripsi. πῶς codd. 18. post ἐστὶν add. ἢ M^b post καὶ add. ἢ $L^b M^b$ 34. καὶ τὸ θεωροῦντα om. M^b Γ τοῦ ἔχοντα καὶ θεωροῦντα seclusi

Aynı şekilde bu bakışla aynı türden başka şeyler hakkında da inceleme yapmalı. Araştırmamızın başlangıcı şu: Acaba kendine egemen olan ile egemen olmayan kişi yaptıkları şeyler açısından mı yoksa davranma tarzı açısından mı bir ayırım taşıyor? Yani, kendine egemen olmayan kişi yalnızca belli şeylerle ilgili olarak mı böyle, yoksa bu doğru değil de, davranma tarzıyla mı o "kendine egemen olmayan kişi" oluyor. Yoksa bu da doğru değil de, herikisine de mi bağlı? Ayrıca kendine egemen olmama ile kendine egemen olma her şeyle ilgili mi, değil mi? Nitekim asıl anlamda kendine egemen olmayan kişi her şeyde değil, nelerde haz düşkünüyse onlarda böyledir ve bunlarla ilgili olarak da mutlak olarak değil (çünkü bu durumda haz düşkünlüğü ile aynı şey olurdu), belli bir tarzda davranmakla böyledir. Haz düşkünü önündeki hoş şeyi her zaman izlemek gerektiğini düşündüğü için tercih ederek davranır, kendine egemen olmayan kişi ise, izlememek gerektiğini düşünür ama gene de izler. Bilimin değil doğru sanının kendimize egemen olamadığımız şeyle ilgili bilgi olması bizim konumuz açısından önemli değil. Çünkü kimi kişilerin sanıları vardır ama hiç de kararsız değillerdir, tersine kesinlikle bildiklerini düşünürler. İmdi sanı sahibi kişiler, sırf sanısı zayıf olması yüzünden bilgili kişilerden daha çok yargılarına aykırı eylemde bulunuyorlarsa, bilim sanıdan hiç de farklı olmayacaktır. Nitekim kimi kişiler sanı sahibi oldukları şeylere, başkalarının bilgisine sahip oldukları şeylere inandıklarından hiç de daha az inanmıyor. Herakleitos da bunu bize kanıtlar. Ne ki, madem bilgili olmaktan iki şekilde söz ediyoruz (hem bilgili olan ama ondan yararlanmayanın hem de bilgili olup bir de ondan yararlananın bilgili olduğu söylenir), bilgili olmasına karşın yapmak zorunda olduğu şeyleri görmeyen kişiyle, bilgili olup bir de bunları gören arasında fark olacaktır. Beriki durumda kendine egemen olmamak pek şaşırtıcı görünüyor, ama biri yapması gereken şeyi görmüyorsa şaşırtıcı değil. Ayrıca madem iki tarz önerme var, birinin her ikisine de sahip olsa da, gene de teklere ilişkin bilgiyi değil, tümel bilgiyi kullanarak bilgisine aykırı eylemde bulunmasına hiç bir engel yok: Çünkü eylemle ilgili olanlar teklere ilişkin olanlardır. Ne ki tümel olanda da ayırımlar var: Kimi kez kişinin kendisine, kimi kez de nesneye bağlıdır: Sözgelişi ilki için "kuru yiyecekler her insan için

συμφέρει τὰ ξηρά, καὶ ὅτι αὐτὸς ἄνθρωπος, ἢ ὅτι ξηρὸν τὸ τοιόνδε· ἀλλ' εἰ τόδε τοιόνδε, ἢ οὐκ ἔχει ἢ οὐκ ἐνεργεῖ· κατά τε δὴ τούτους διοίσει τοὺς τρόπους ἀμήχανον ὅσον, ὥστε δοκεῖν οὕτω μὲν εἰδέναι μηδὲν ἄτοπον, ἄλλως δὲ θαυμα-
7 στόν. ἔτι τὸ ἔχειν τὴν ἐπιστήμην ἄλλον τρόπον τῶν νῦν ῥηθέντων ὑπάρχει τοῖς ἀνθρώποις· ἐν τῷ γὰρ ἔχειν μὲν μὴ χρῆσθαι δὲ διαφέρουσαν ὁρῶμεν τὴν ἕξιν, ὥστε καὶ ἔχειν πως καὶ μὴ ἔχειν, οἷον τὸν καθεύδοντα καὶ μαινόμενον καὶ οἰνωμένον. ἀλλὰ μὴν οὕτω διατίθενται οἵ γε ἐν τοῖς πάθεσιν ὄντες· θυμοὶ γὰρ καὶ ἐπιθυμίαι ἀφροδισίων καὶ ἔνια τῶν τοιούτων ἐπιδήλως καὶ τὸ σῶμα μεθιστᾶσιν, ἐνίοις δὲ καὶ μανίας παιοῦσιν. δῆλον οὖν ὅτι ὁμοίως ἔχειν
8 λεκτέον τοὺς ἀκρατεῖς τούτοις. τὸ δὲ λέγειν τοὺς λόγους τοὺς ἀπὸ τῆς ἐπιστήμης οὐδὲν σημεῖον· καὶ γὰρ οἱ ἐν τοῖς πάθεσι τούτοις ὄντες ἀποδείξεις καὶ ἔπη λέγουσιν Ἐμπεδοκλέους, καὶ οἱ πρῶτον μαθόντες συνείρουσι μὲν τοὺς λόγους, ἴσασι δ' οὔπω· δεῖ γὰρ συμφυῆναι, τοῦτο δὲ χρόνου δεῖται· ὥστε καθάπερ τοὺς ὑποκρινομένους, οὕτως ὑπολεπτέον λέγειν καὶ τοὺς
9 ἀκρατευομένους. ἔτι καὶ ὧδε φυσικῶς ἄν τις ἐπιβλέψειε τὴν αἰτίαν. ἡ μὲν γὰρ καθόλου δόξα, ἡ δ' ἑτέρα περὶ τῶν καθ' ἕκαστά ἐστιν, ὧν αἴσθησις ἤδη κυρία· ὅταν δὲ μία γένηται ἐξ αὐτῶν, ἀνάγκη τὸ συμπεραινθὲν ἔνθα μὲν φάναι τὴν ψυχήν, ἐν δὲ ταῖς ποιητικαῖς πράττειν εὐθύς· οἷον, εἰ παντὸς γλυκέος γεύεσθαι δεῖ, τουτὶ δὲ γλυκὺ ὡς ἔν τι τῶν καθ' ἕκαστον, ἀνάγκη τὸν δυνάμενον καὶ μὴ
10 κωλυόμενον ἅμα τοῦτο καὶ πράττειν. ὅταν οὖν ἡ μὲν κα-

1147ᵃ 6. αὐτὸς Rassow: ὁ αὐτὸς pr. $K^b M^b$: οὗτος Γ: αὐτὸς οὗτος L^b 7. ἢ post τοιόνδε om. pr. $K^b M^b$ 14. γε om. $K^b M^b$ 21. μανθάνοντες coni. Thurot συνεργοῦσι pr. $K^b M^b$ 22. συμφυῆναι K^b: συμφῦναι vulg. τοῦτο $K^b M^b$ Γ: τούτῳ L^b δεῖται Γ: δεῖ codd. 30. ἔν τι τῶν] τὸν pr. K^b

yararlıdır", ikincisi için "o bir insandır", veya "şu kurudur". Ama bunun böyle olduğu ya bilinmez ya da bilgi etkinliğe geçirilmez. Bu iki durum arasında öyle büyük bir ayırım var ki, birine göre bilinmesi hiç de şaşırtıcı görünmüyor ama ötekine göre şaşılacak bir şey olur. Öte yandan insanlar şimdi sözünü ettiğimiz biçimlerden başka bir biçimde de bilgi sahibi olabilirler. Nitekim bilgiye sahip olmanın ve onu kullanmanın farklı bir huy olduğunu görüyoruz: Sanki hem sahip olmak hem de olmamak gibi: Sözgelişi uyuyan, kendini kaybeden ya da sarhoş olan biri. Öfke içinde bulunan kişiler tam bu durumda: Öfke, cinsel tutkular ve benzeri kimi şeyler bedeni bile gözle görülür biçimde değiştiriyor, kimilerini de akıl hastası yapıyor. O halde kendine egemen olmayan kişilerin bunlara benzer olduğunu söylemek gerekiyor, bu açık. Onların bilgiye dayanan temellendirmeler yapmaları bir şey kanıtlamaz, nitekim öfke içinde olanlar da çıkarımlar yapar ve Empedokles'in dizelerini yineleyebilir. Öğrenmeye yeni başlayanlar da bağlantılar kurar ama bunların anlamını henüz bilmez, çünkü onların yapısına katılması gerekir, bu da zaman gerektirir. Dolayısıyla kendine egemen olmayan kişilerin tiyatro oyuncuları gibi rol yaptıkları kabul edilmeli. Ayrıca şu şekilde kendine egemen olmama nedeni doğal gibi de görünebilir: <Eylemi belirleyen şeyle ilgili olarak> bir genel sanı vardır, bir de duyumun egemenliğindeki teklerle ilgili sanı vardır, bunlar birleştirilince zihnin buradan sonuç çıkarması ve eylem söz konusu ise hemen eyleme geçilmesi gerekir. Örneğin her tatlıdan tatmak gerekiyorsa ve tek olarak şu nesne tatlıysa, kişi kendisine engel olunmadıkça, onun elinde olduğu sürece onu tadacaktır. İmdi tatmayı

θόλου ἐνῇ κωλύουσα γεύεσθαι, ἡ δέ, ὅτι πᾶν γλυκὺ ἡδύ, τουτὶ δὲ γλυκύ (αὕτη δὲ ἐνεργεῖ), τύχῃ δ' ἐπιθυμία ἐνοῦσα, ἡ μὲν οὖν λέγει φεύγειν τοῦτο, ἡ δ' ἐπιθυμία ἄγει· κινεῖν γὰρ ἕκαστον δύναται τῶν μορίων· ὥστε συμβαίνει 114a1 ὑπὸ λόγου πως καὶ δόξης ἀκρατεύεσθαι, οὐκ ἐναντίας δὲ καθ' αὑτήν, ἀλλὰ κατὰ συμβεβηκός — ἡ γὰρ ἐπιθυμία 11 ἐναντία, ἀλλ' οὐχ ἡ δόξα—τῷ ὀρθῷ λόγῳ· ὥστε καὶ διὰ τοῦτο τὰ θηρία οὐκ ἀκρατῆ, ὅτι οὐκ ἔχει καθόλου ὑπόληψιν ἀλλὰ τῶν καθ' ἕκαστα φαντασίαν καὶ μνήμην. πῶς δὲ λύεται ἡ ἄγνοια καὶ πάλιν γίνεται ἐπιστήμων ὁ 12 ἀκρατής, ὁ αὐτὸς λόγος καὶ περὶ οἰνωμένου καὶ καθεύδοντος καὶ οὐκ ἴδιος τούτου τοῦ πάθους, ὃν δεῖ παρὰ τῶν φυσιολόγων ἀκούειν. ἐπεὶ δ' ἡ τελευταία πρότασις δόξα τε 13 αἰσθητοῦ καὶ κυρία τῶν πράξεων, ταύτην ἢ οὐκ ἔχει ἐν τῷ πάθει ὤν, ἢ οὕτως ἔχει ὡς οὐκ ἦν τὸ ἔχειν ἐπίστασθαι ἀλλὰ λέγειν ὥσπερ ὁ οἰνωμένος τὰ Ἐμπεδοκλέους. καὶ διὰ τὸ μὴ καθόλου μηδ' ἐπιστημονικὸν ὁμοίως εἶναι δοκεῖν τῷ καθόλου τὸν ἔσχατον ὅρον καὶ ἔοικεν ὃ ἐζήτει Σωκράτης συμβαίνειν· οὐ γὰρ τῆς κυρίως ἐπιστήμης εἶναι 14 δοκούσης παρούσης γίνεται τὸ πάθος, οὐδ' αὕτη περιέλκεται διὰ τὸ πάθος, ἀλλὰ τῆς αἰσθητικῆς. περὶ μὲν οὖν τοῦ εἰδότα καὶ μή, καὶ πῶς εἰδότα ἐνδέχεται ἀκρατεύεσθαι, τοσαῦτα εἰρήσθω.

6 Πότερον δ' ἐστί τις ἁπλῶς ἀκρατὴς ἢ πάντες κατὰ IV. μέρος, καὶ εἰ ἔστι, περὶ ποῖά ἐστι, λεκτέον ἐφεξῆς. ὅτι μὲν οὖν περὶ ἡδονὰς καὶ λύπας εἰσὶν οἵ τ' ἐγκρατεῖς καὶ καρτερικοὶ καὶ οἱ ἀκρατεῖς καὶ μαλακοί, φανερόν. ἐπεὶ δ' ἐστὶ 2 τὰ μὲν ἀναγκαῖα τῶν ποιούντων ἡδονήν, τὰ δ' αἱρετὰ μὲν

---

32. δέ om. pr. K^b L^b post πᾶν add. τὸ L^b 34. οὖν om. L^b Γ
1147b 4. ante καθόλου add. τῶν L^b 7. καὶ περὶ] ὁ περὶ K^b: ὁ καὶ περὶ M^b Γ 11. ἐν] ὁ ἐν O^b 16. αὐτὴ L^b Γ

yasaklayan genel bir sanı varsa, bir de her tatlının hoş olduğu ve şu belli şeyin tatlı olduğu sanısı varsa (bu sanı etkinlik halinde), ama bir de tutku söz konusuysa, ilk sanı bundan kaçınmayı salık verecek, tutku ise ona itecektir (çünkü o ruhun her yanını devindirebilir). Dolayısıyla bir biçimde, akıl ve kendi başına değil ama ilineksel anlamda sağ akla karşıt olan bir sanı yüzünden kendine egemen olunmayabilir - sanı değil, tutkudur sağ akla karşıt olan-. Dolayısıyla bu yüzden de hayvanlar için "kendine egemen olmayan" denemez, çünkü onların tümel kabulleri yok, ancak teklere ilişkin bir tasarımları ve anıları var. Bilgisizliğin nasıl giderildiği ve kendine egemen olmayan kişinin nasıl yeniden bilgili olduğu açıklaması, sarhoş ya da uyuyan birininkiyle aynıdır. Bu tutkuyla ilgili doğabilimcilerinden duymamız gereken özel bir açıklama da yok. Ne ki son çıkarım hem duyuma ilişkin olan hem de eylemleri belirleyen bir sanı olduğu için, heyecan içinde olan biri ya buna sahip değildir ya da bilgili olanın sahip olması gibi, Empedokles'in dizelerini yineleyen bir sarhoşun sahip olması gibi sahiptir. Yine son tanım tümel olmadığından ve tümelle aynı biçimde bilgisel bir şey olarak görünmediğinden ötürü, Sokrates'in araştırmasında ortaya çıkan şeye benzemektedir. Nitekim asıl anlamda bilgi varken ne tutku ortaya çıkar ne de bilgi tutkuyla güdülür: Ancak duyumla ilgili sanı varsa bu söz konusu. Demek bilgiyle mi bilmeden mi, bilgiyle ne şekilde kendine egemen olmama söz konusu oluyor, bunları söylemiş olduk.

35 1147b

5

10

15

İmdi acaba saltık anlamda kendine egemen olmayan biri var mı, yoksa herkes bir yanıyla mı öyle; varsa, kişi nelerde kendine egemen değil, bunları söyleyerek konuyu sürdürmek gerekiyor. Hem kendine egemen olanlar ve sağlam karakterliler hem de kendine egemen olmayanlar ve zayıf karakterliler hazlarla, acılarla ilgili olarak böyleler, bu açık. Madem haz ortaya çıkaran şeylerin kimi zorunlu, kimi ise kendi başına tercih

καθ' αὑτὰ ἔχοντα δ' ὑπερβολήν, ἀναγκαῖα μὲν τὰ σωματικά (λέγω δὲ τὰ τοιαῦτα, τά τε περὶ τὴν τροφὴν καὶ τὴν τῶν ἀφροδισίων χρείαν, καὶ τὰ τοιαῦτα τῶν σωματικῶν περὶ ἃ τὴν ἀκολασίαν ἔθεμεν καὶ τὴν σωφροσύνην), τὰ δ' ἀναγκαῖα μὲν οὐχί, αἱρετὰ δὲ καθ' αὑτά (λέγω δ' οἷον νίκην τιμὴν πλοῦτον καὶ τὰ τοιαῦτα τῶν ἀγαθῶν καὶ ἡδέων)· τοὺς μὲν οὖν πρὸς ταῦτα παρὰ τὸν ὀρθὸν λόγον ὑπερβάλλοντας τὸν ἐν αὐτοῖς ἁπλῶς μὲν οὐ λέγομεν ἀκρατεῖς, προστιθέντες δὲ τὸ χρημάτων ἀκρατεῖς καὶ κέρδους καὶ τιμῆς καὶ θυμοῦ, ἁπλῶς δ' οὔ, ὡς ἑτέρους καὶ καθ' ὁμοιότητα λεγομένους, ὥσπερ ἄνθρωπος ὁ τὰ Ὀλύμπια νικῶν· ἐκείνῳ γὰρ ὁ κοινὸς λόγος τοῦ ἰδίου μικρὸν διέφερεν, ἀλλ' ὅμως ἕτερος ἦν. σημεῖον δέ· ἡ μὲν γὰρ ἀκρασία ψέγεται οὐχ ὡς ἁμαρτία μόνον ἀλλὰ καὶ ὡς κακία τις ἢ ἁπλῶς οὖσα ἢ κατά τι μέρος, τούτων δ' οὐδείς. τῶν δὲ περὶ τὰς σωματικὰς ἀπολαύσεις, περὶ ἃς λέγομεν τὸν σώφρονα καὶ ἀκόλαστον, ὁ μὴ τῷ προαιρεῖσθαι τῶν ἡδέων διώκων τὰς ὑπερβολάς—καὶ τῶν λυπηρῶν φεύγων, πείνης καὶ δίψης καὶ ἀλέας καὶ ψύχους καὶ πάντων τῶν περὶ ἁφὴν καὶ γεῦσιν—ἀλλὰ παρὰ τὴν προαίρεσιν καὶ τὴν διάνοιαν, ἀκρατὴς λέγεται, οὐ κατὰ πρόσθεσιν, ὅτι περὶ τάδε, καθάπερ ὀργῆς, ἀλλ' ἁπλῶς μόνον. σημεῖον δέ· καὶ γὰρ μαλακοὶ λέγονται περὶ ταύτας, περὶ ἐκείνων δ' οὐδεμίαν. καὶ διὰ τοῦτ' εἰς ταὐτὸ τὸν ἀκρατῆ καὶ τὸν ἀκόλαστον τίθεμεν καὶ ἐγκρατῆ καὶ σώφρονα, ἀλλ' οὐκ ἐκείνων οὐδένα, διὰ τὸ περὶ τὰς αὐτάς πως ἡδονὰς καὶ λύπας εἶναι· οἱ δ' εἰσὶ μὲν περὶ ταὐτά, ἀλλ' οὐχ ὡσαύτως εἰσίν, ἀλλ' οἱ μὲν προαιροῦνται οἱ δ' οὐ προαιροῦνται. διὸ μᾶλλον ἀκό-

31. οὖν om. $K^b M^b$ 33. τὸ fort. secludendum 35. νικῶν K^b: νενικηκός vulg. 1148ª 1. μικρῷ K^b 6. τῶν $L^b M^b \Gamma$: τῶν δὲ pr. K^b: τῶν τε O^b

edilebilecek şeyler ama yine de aşırılık taşıyabilirler: Zorunlu olanlar bedenle ilgili olanlardır (kastettiğim beslenme ve cinsel gereksinimle ilgili olanlar ile haz düşkünlüğünü ve ölçülülüğü onlara göre belirlediğimiz şeyler), zorunlu olmayanlar ise kendi başına tercih edilebilecek şeyler olabiliyor (kastettiğim, sözgelişi utku, mevki, zenginlik, bunun gibi iyi, hoş şeyler). İmdi bunlarda bunlara ilişkin sağ akla aykırı olarak aşırıya kaçanlara saltık anlamda "kendine egemen olmayan" adını vermiyoruz, onların mala-mülke, kazanca, mevkiye, hırsa karşı kendilerine egemen olamadıklarını belirtip, saltık anlamda değil, olimpiyat oyunlarında galip gelene "erkek adam" denmesi gibi bir benzetmeyle öyle olduklarını söylüyoruz. Bu durumda ortak kavram kendine özgü tanımdan çok az farklı oluyor ama yine de farklı. Bir kanıt şu: Haz düşkünlüğü yalnızca bir yanlış olarak değil, ya saltık anlamda ya da belli bir şeydeki kötülük olarak da yerilir, oysa bunların hiçbiri yerilmez. Ne ki, "ölçülü" ve "haz düşkünü" olanı onlarla ilgili olarak belirlediğimiz bedensel hazlarda kendini tutamayan kişiler arasında, tercih etmeden hoş şeylerin aşırılığına kapılan - acılardan da aşırı kaçan, yani açlıktan, susuzluktan, sıcaktan, soğuktan; dokunma ve tatma duyusuyla ilgili her şeyden aşırı kaçan- ama tercihine ve düşüncesine aykırı olarak bunu yapan kişiye belirli bir şeyde, sözgelişi "öfkede" diye eklemeksizin, yalnızca "saltık anlamda kendine egemen olmayan kişi" denir. Bir kanıt şu: Zayıf karakterli kişiler de son saydıklarımızla ilgili olarak belirlenir ama ötekilerin hiçbiriyle ilgili olarak böyle belirlenmez. "Kendine egemen olmayan" ile "haz düşkünü olan"ı ve "kendine egemen olan" ile "ölçülü kişi"yi aynı yere koymamızın, öncekilerden hiçbiri konusunda bunu yapmamamızın nedeni de bu, çünkü kendine egemen olamayan ile haz düşkünü kişinin aynı türden haz ve acılarla bir biçimde ilgisi var. Gerçi aynı şeylerle ilgililer ama ilgi tarzları aynı değil, haz düşkünü olanlar tercih ediyor, ötekiler tercih etmiyor. Bunun için, aşırı tutku yüzünden böyle olandan çok,

λαστον ἂν εἴποιμεν ὅστις μὴ ἐπιθυμῶν ἢ ἠρέμα διώκει τὰς ὑπερβολὰς καὶ φεύγει μετρίας λύπας, ἢ τοῦτον ὅστις διὰ τὸ ἐπιθυμεῖν σφόδρα· τί γὰρ ἂν ἐκεῖνος ποιήσειεν, εἰ προσγένοιτο ἐπιθυμία νεανικὴ καὶ περὶ τὰς τῶν ἀναγκαίων ἐνδείας λύπη ἰσχυρά; ἐπεὶ δὲ τῶν ἐπιθυμιῶν καὶ τῶν ἡδονῶν αἱ μέν εἰσι ⟨τῶν⟩ τῷ γένει καλῶν καὶ σπουδαίων (τῶν γὰρ ἡδέων ἔνια φύσει αἱρετά), τὰ δ' ἐναντία τούτων, τὰ δὲ μεταξύ, καθάπερ διείλομεν πρότερον, οἷον χρήματα καὶ κέρδος καὶ νίκη καὶ τιμή· πρὸς ἅπαντα δὲ καὶ τὰ τοιαῦτα καὶ τὰ μεταξὺ οὐ τῷ πάσχειν καὶ ἐπιθυμεῖν καὶ φιλεῖν ψέγονται, ἀλλὰ τῷ πῶς καὶ ὑπερβάλλειν (διὸ ὅσοι μὲν παρὰ τὸν λόγον ἢ κρατοῦνται ἢ διώκουσι τῶν φύσει τι καλῶν καὶ ἀγαθῶν, οἷον οἱ περὶ τιμὴν μᾶλλον ἢ δεῖ σπουδάζοντες ἢ περὶ τέκνα καὶ γονεῖς· καὶ γὰρ ταῦτα τῶν ἀγαθῶν, καὶ ἐπαινοῦνται οἱ περὶ ταῦτα σπουδάζοντες· ἀλλ' ὅμως ἔστι τις ὑπερβολὴ καὶ ἐν τούτοις, εἴ τις ὥσπερ ἡ Νιόβη μάχοιτο καὶ πρὸς τοὺς θεούς, ἢ ὥσπερ Σάτυρος ὁ φιλοπάτωρ ἐπικαλούμενος περὶ τὸν πατέρα· λίαν γὰρ ἐδόκει μωραίνειν)· μοχθηρία μὲν οὖν οὐδεμία περὶ ταῦτ' ἐστὶ διὰ τὸ εἰρημένον, ὅτι φύσει τῶν αἱρετῶν ἕκαστόν ἐστι δι' αὐτό, φαῦλαι δὲ καὶ φευκταὶ αὐτῶν εἰσὶν αἱ ὑπερβολαί. ὁμοίως δ' οὐδ' ἀκρασία· ἡ γὰρ ἀκρασία οὐ μόνον φευκτὸν ἀλλὰ καὶ τῶν ψεκτῶν ἐστίν· δι' ὁμοιότητα δὲ τοῦ πάθους προσεπιτιθέντες τὴν ἀκρασίαν περὶ ἕκαστον λέγουσιν, οἷον κακὸν ἰατρὸν καὶ κακὸν ὑποκριτήν, ὃν ἁπλῶς οὐκ ἂν εἴποιεν κακόν. ὥσπερ οὖν οὐδ' ἐνταῦθα, διὰ τὸ μὴ κακίαν εἶναι ἑκάστην αὐτῶν ἀλλὰ τῷ ἀνάλογον ὁμοίαν, οὕτω δῆλον ὅτι κἀκεῖ ὑπολεπτέον μόνην ἀκρασίαν καὶ ἐγκράτειαν εἶναι ἢ-

---

23. τῶν add. Rassow 24. γὰρ] δ' K^b Γ 28. καὶ om. K^b M^b 34. καὶ om. K^b M^b 1148^b 4. φαῦλαι—ὑπερβολαί] φαῦλα δὲ καὶ φευκτὰ καὶ ἁμαρτήματα K^b 7. περὶ] πρὸς K^b ἑκάστου Aldina

tutkuya kapılmadan ya da zayıf bir arzuyla aşırıya kaçan ve ortalama acıdan uzak duran kişiye "haz düşkünü" diyebiliriz. Delikanlıca bir tutku söz konusu olduğunda ya da zorunlu olan şeylerin eksikliği ile ilgili zorlu bir acı söz konusu olduğunda ö ne yapsın? Madem tutkularla hazların kimi cinsce güzel ve erdemli olanlara ilişkin (çünkü kimi hazlar doğaca tercih edilecek hazlar, kimi bunlara karşıt, kimi de, daha önce dediğim gibi,- sözgelişi zenginlik, kazanç, utku, mevki - bunların arasında), bütün bunlarla ilgili olarak hem böyle olanlar hem de arada olanlar, tutkuya kapılmaları, arzu etmeleri, sevmeleri yüzünden değil, belli bir biçimde böyle olmaları ve aşırıya kaçmaları yüzünden yerilirler. Bunun için doğaca güzel ve iyi olan bir şeye akla aykırı kendini kaptıran ya da peşinden koşan kişiler, sözgelişi gereğinden çok mevki peşinde koşan ya da gereğinden çok çocuklarına, ana-babasına düşenler (nitekim bunlar güzel şeyler, bunlara düşkün olanlar övülürler, ama yine de bunlarda da aşırılık olabilir: Sözgelişi tanrılara karşı savaşmaya kalkan Niobe[63] ya da babasına aşırı düşkünlüğünden ötürü "baba aşığı" adı verilen Satyros[64]). İmdi söylediğimiz nedenden ötürü, yani herbiri doğaca kendi başına tercih edilebilecek şeylerden olduğundan ötürü, hiçbiri kötülük değil, kötü ve yerilecek olan şey bunlardaki aşırılıklar. Aynı şekilde burada kendine egemen olmama da söz konusu değil, çünkü kendine egemen olmama yalnızca kaçılacak bir şey değil, aynı zamanda yerilecek de bir şey. Ne ki, tutkunun benzerliğinden ötürü herbiriyle ilgili egemen olmamayı ekleyerek konuşuyoruz, tıpkı saltık anlamda "kötü" diyemeyeceğimiz "kötü hekim", "kötü oyuncu" gibi. İmdi nasıl beriki durumda bunlardan herbirinin kötülüğünden ötürü değil, benzerlik açısından bir karşılıktan ötürü böyle adlandırıyorsak, bizim konumuzda da aynı şekilde yalnız [illegible] kötülük ve haz düşkünlüğüyle ilgili olan şeylerin aynısını oldu[illegible]

20 25 30 1148b 5

τις ἐστὶ περὶ ταὐτὰ τῇ σωφροσύνῃ καὶ ἀκολασίᾳ, περὶ δὲ θυμοῦ καθ' ὁμοιότητα λέγομεν· διὸ καὶ προστιθέντες ἀκρατῆ θυμοῦ ὥσπερ τιμῆς καὶ κέρδους φαμέν.

V. Ἐπεὶ δ' ἐστὶν ἔνια μὲν ἡδέα φύσει, καὶ τούτων τὰ μὲν ἁπλῶς τὰ δὲ κατὰ γένη καὶ ζῴων καὶ ἀνθρώπων, τὰ δ' οὐκ ἔστιν, ἀλλὰ τὰ μὲν διὰ πηρώσεις τὰ δὲ δι' ἔθη γίνεται, τὰ δὲ διὰ μοχθηρὰς φύσεις, ἔστι καὶ περὶ τούτων ἕκαστα παραπλησίας ἰδεῖν ἕξεις· λέγω δὲ τὰς θηριώδεις, οἷον τὴν ἄνθρωπον ἣν λέγουσι τὰς κυούσας ἀνασχίζουσαν τὰ παιδία κατεσθίειν, ἢ οἷοις χαίρειν φασὶν ἐνίους τῶν ἀπηγριωμένων περὶ τὸν Πόντον, τοὺς μὲν ὠμοῖς τοὺς δὲ ἀνθρώπων κρέασιν, τοὺς δὲ τὰ παιδία δανείζειν ἀλλήλοις εἰς εὐωχίαν, ἢ τὸ περὶ Φάλαριν λεγόμενον. αὗται μὲν θηριώδεις, αἱ δὲ διὰ νόσους γίνονται (καὶ διὰ μανίαν ἐνίοις, ὥσπερ ὁ τὴν μητέρα καθιερεύσας καὶ φαγών, καὶ ὁ τοῦ συνδούλου τὸ ἧπαρ) αἱ δὲ νοσηματώδεις ἢ ἐξ ἔθους, οἷον τριχῶν τίλσεις καὶ ὀνύχων τρώξεις, ἔτι δ' ἀνθράκων καὶ γῆς, πρὸς δὲ τούτοις ἡ τῶν ἀφροδισίων τοῖς ἄρρεσιν· τοῖς μὲν γὰρ φύσει τοῖς δ' ἐξ ἔθους συμβαίνουσιν, οἷον τοῖς ὑβριζομένοις ἐκ παίδων. ὅσοις μὲν οὖν φύσις αἰτία, τούτους μὲν οὐδεὶς ἂν εἴπειεν ἀκρατεῖς, ὥσπερ οὐδὲ τὰς γυναῖκας, ὅτι οὐκ ὀπύουσιν ἀλλ' ὀπύονται· ὡσαύτως δὲ καὶ ὅσοι νοσηματώδως ἔχουσι δι' ἔθος. τὸ μὲν οὖν ἔχειν ἕκαστα τούτων ἔξω τῶν ὅρων ἐστὶ τῆς κακίας, καθάπερ καὶ ἡ θηριότης· τὸν δ' 1149ᵃ ἔχοντα κρατεῖν ἢ κρατεῖσθαι οὐχ ἡ ἁπλῆ ἀκρασία ἀλλ' ἡ

---

12. καὶ] καὶ τῇ L^b 13. θυμοῦ K^b: θυμὸν vulg. 19. δὴ pr. K^b L^b θηριώδους pr. K^b: θηριωδίας L^b 21. οἷς K^b 22. ἀνδρῶν K^b M^b 23. fort. δὲ ⟨καὶ⟩ 25. διά τε νόσους M^b διὰ add. K^b 27. ἢ om. K^b 30. γυμναζομένοις K^b M^b: ἐθιζομένοις Γ 33. δὲ om. K^b M^b ὅσοι scripsi: τοῖς codd. 1149ᵃ 1. τὸν K^b: τὸ vulg. 2. κρατεῖν] καρτερεῖν K^b ἀλλ' ἡ] ἀλλὰ K^b

yerde kendine egemen olmamanın ve kendine egemen olmanın söz konusu olduğunu kabul etmek gerekir, bu açık. Öfke konusundan ise benzerlik açısından sözediyoruz, bunun için "öfkede" kendine egemen olmama diye de ekliyoruz, tıpkı "mevkide", "kazançta" kendine egemen olmama dediğimiz gibi.

Madem kimi şeyler doğa gereği hoş - bunların kimi saltık anlamda hoş, kimi de hayvan ve insan cinslerine göre farklılık taşıyor - kimi şeyler ise doğa gereği hoş değil, ama bazıları kusurlar, bazıları alışkanlıklar, bazıları da kötü yapılar yüzünden öyle görünüyor, bu durumların herbirine karşılık gelen huyları da görmek gerek. Canavarca huylar, sözgelişi hamile kadınların karnını yarıp, ceninleri yediği anlatılan kadın; kimilerinin çiğ et, kimilerinin insan eti yediği, kimilerinin biribirlerine çocuklarını ikram ettikleri anlatılan Pontos çevresindeki uluslar, ya da Phalaris üzerine anlatılan şey.[65] Bunlar canavarlık. Bunların bazıları hastalıklar yüzünden ortaya çıkıyor (ya da delilikten, sözgelişi anasını adak adayıp yiyen ya da köle arkadaşının karaciğerini yiyen kişi). Kimi doğal hastalıklı tutumlar, kimi de alışkanlıklar nedeniyle ortaya çıkıyor, sözgelişi saç yolmak, tırnak yemek, kömür ya da toprak yalamak, bunların dışında bir de erkekler arasındaki eşcinsellik. Bunlardan kimi doğal kimi de alışkanlıkla ortaya çıkıyor, sözgelişi çocukken tecavüze uğramış olanlarda bu böyle. Neden doğa ise, hiç kimse bunlara "kendine egemen değil" diyemez: Tıpkı etkin değil de edilgin oldukları için kadınlara denemeyeceği gibi. Alışkanlık yüzünden hastalıklı davranış gösteren kişiler için de bu böyle. Demek ki canavarlıkta da olduğu gibi, bu özellikleri taşımak kötülük sınırlarının dışındadır. Bu özelliği taşıyan kişinin kendine egemen olması ya da olmaması asıl anlamda kendine egemen

καθ' ὁμοιότητα, καθάπερ καὶ τὸν περὶ τοὺς θυμοὺς ἔχοντα τοῦτον τὸν τρόπον τοῦ πάθους, ἀκρατῆ δ' οὐ λεκτέον. πᾶσα γὰρ ὑπερβάλλουσα καὶ ἀφροσύνη καὶ δειλία καὶ ἀκολασία καὶ χαλεπότης αἱ μὲν θηριώδεις αἱ δὲ νοσηματώδεις εἰσίν· ὁ μὲν γὰρ φύσει τοιοῦτος οἷος δεδιέναι πάντα, κἂν ψοφήσῃ μῦς, θηριώδη δειλίαν δειλός, ὃ δὲ τὴν γαλῆν ἐδεδίει διὰ νόσον· καὶ τῶν ἀφρόνων οἱ μὲν ἐκ φύσεως ἀλόγιστοι καὶ μόνον τῇ αἰσθήσει ζῶντες θηριώδεις, ὥσπερ ἔνια γένη τῶν πόρρω βαρβάρων, οἱ δὲ διὰ νόσους, οἷον τὰς ἐπιληπτικάς, ἢ μανίας νοσηματώδεις. τούτων δ' ἔστι μὲν ἔχειν τινὰ ἐνίοτε μὲν μόνον, μὴ κρατεῖσθαι δέ, λέγω δὲ οἷον εἰ Φάλαρις κατεῖχεν ἐπιθυμῶν παιδίου φαγεῖν ἢ πρὸς ἀφροδισίων ἄτοπον ἡδονήν· ἔστι δὲ καὶ κρατεῖσθαι, μὴ μόνον ἔχειν· ὥσπερ οὖν καὶ μοχθηρίας ἡ μὲν κατ' ἄνθρωπον ἁπλῶς λέγεται μοχθηρία, ἢ δὲ κατὰ πρόσθεσιν, ὅτι θηριώδης ἢ νοσηματώδης, ἁπλῶς δ' οὔ, τὸν αὐτὸν τρόπον δῆλον ὅτι καὶ ἀκρασία ἐστὶν ἢ μὲν θηριώδης ἢ δὲ νοσηματώδης, ἁπλῶς δὲ ἡ κατὰ τὴν ἀνθρωπίνην ἀκολασίαν μόνη.

7 Ὅτι μὲν οὖν ἀκρασία καὶ ἐγκράτειά ἐστι μόνον περὶ ἅπερ ἀκολασία καὶ σωφροσύνη, καὶ ὅτι περὶ τὰ ἄλλα ἐστὶν ἄλλο εἶδος ἀκρασίας, λεγόμενον κατὰ μεταφοράν καὶ οὐχ ἁπλῶς, δῆλον. Ὅτι δὲ καὶ ἧττον αἰσχρὰ ἀκρασία ἢ τοῦ θυμοῦ ἢ ἡ τῶν ἐπιθυμιῶν, θεωρήσωμεν. ἔοικε γὰρ ὁ θυμὸς ἀκούειν μέν τι τοῦ λόγου, παρακούειν δέ, καθάπερ οἱ ταχεῖς τῶν διακόνων, οἳ πρὶν ἀκοῦσαι πᾶν τὸ λεγόμενον ἐκθέουσιν, εἶτα ἁμαρτάνουσι τῆς προστάξεως, καὶ οἱ κύνες, πρὶν σκέψασθαι εἰ φίλος, ἂν μόνον ψοφήσῃ, ὑλακτοῦσιν· οὕτως VI.

---

4. *πάθους* ⟨*ἀκρατῆ*⟩ Lambinus 13. *μὲν* add. $K^b M^b$ 16. *μοχθηρίας* K^b: *μοχθηρία* vulg. 17. *ἢ* scripsi: *ἡ* edd. 20. *μόνην* K^b $L^b M^b$ 25. *ἢ ἡ*] *ἢ* pr. K^b: *ἡ* M^b 27. *οἳ* seclus. Jackson 28. *πράξεως* M^b Γ

olmama değil, bir benzerlik açısından kendine egemen olmama olur: Tıpkı öfke ile ilgili olarak bu özelliği taşıyan kişiye de "kendine egemen olmayan kişi" denmemesi gerektiği gibi. Nitekim her aşırı düşüncesizlik, ödleklik, haz düşkünlüğü, terslik ya hastalıktır ya da hayvancadır: Doğal olarak böyle olup, her şeyden hatta bir fare tıkırtısından korkan kişi hayvanca ödleklik türünden bir korkaktır ; kimi de kediden korkar, çünkü hastadır. Aklı başında olmayanlara gelince, bunların kimi doğa gereği muhakemeden yoksundur ve uzaklarda yaşayan kimi yabancı uluslar gibi yalnızca duyumla, hayvanca yaşar, kimi ise hastalık yüzünden böyledir: Sözgelişi saralılar ya da akıl hastaları. Bu durumlarda birinin kimi kez bu özelliği taşıması ama kendini kaptırmaması da olanaklıdır. Kastettiğim şu: Sözgelişi Phalaris bir çocuğu yemek arzusuna ya da sapkın bir cinsel hazza karşı kendini tutarsa. Nasıl kötülükten, bir anlamda yalın olarak " insana ilişkin kötülük" diye, bir de yalın anlamda değil, "hastalıklı" diye ekleyerek sözedilirse, aynı şekilde kendine egemen olmama da bir anlamda "canavarca-hayvanca" ya da hastalıklıdır, ama asıl anlamda yalnızca "insana ilişkin kendine egemen olmama"dan sözedilebilir.

İmdi kendine egemen olmama ve kendine egemen olma, haz düşkünlüğü ile ölçülülük nelerle ilgiliyse yalnızca onlarla ilgili, bunların dışındaki şeylerle ilgili olarak asıl anlamda değil, eğretileme ile sözü edilen başka tür bir kendine egemen olmama var, bu açık. Öfkede kendine egemen olmamanın arzularda kendine egemen olmamaktan daha az çirkin olduğunu ise şimdi göstereceğiz: Öyle görünüyor ki, öfke aklı biraz dinler ama kötü dinler. Nasıl ayağına çabuk köleler söylenen şeyin hepsini dinlemeden koşturur, sonra da buyurulanı yanlış yerine getirirse, ya da köpekler dost mu değil mi, buna bakmadan sırf bir gürültü olduğu için havlarsa,

ὁ θυμὸς διὰ θερμότητα καὶ ταχυτῆτα τῆς φύσεως ἀκού- 30
σας μέν, οὐκ ἐπίταγμα δ' ἀκούσας, ὁρμᾷ πρὸς τὴν τιμω-
ρίαν. ὁ μὲν γὰρ λόγος ἢ ἡ φαντασία ὅτι ὕβρις ἢ ὀλι-
γωρία ἐδήλωσεν, ὁ δ' ὥσπερ συλλογισάμενος ὅτι δεῖ τῷ
τοιούτῳ πολεμεῖν χαλεπαίνει δὴ εὐθύς· ἡ δ' ἐπιθυμία, ἐὰν
μόνον εἴπῃ ὅτι ἡδὺ ὁ λόγος ἢ ἡ αἴσθησις, ὁρμᾷ πρὸς τὴν 35
ἀπόλαυσιν. ὥσθ' ὁ μὲν θυμὸς ἀκολουθεῖ τῷ λόγῳ πως, ἡ 1149 b
δ' ἐπιθυμία οὔ. αἰσχίων οὖν· ὁ μὲν γὰρ τοῦ θυμοῦ ἀκρατὴς
τοῦ λόγου πως ἡττᾶται, ὁ δὲ τῆς ἐπιθυμίας καὶ οὐ τοῦ λόγου.
2 ἔτι ταῖς φυσικαῖς μᾶλλον συγγνώμη ἀκολουθεῖν ὀρέξεσιν,
ἐπεὶ καὶ ἐπιθυμίαις ταῖς τοιαύταις μᾶλλον ὅσαι κοιναὶ 5
πᾶσι, καὶ ἐφ' ὅσον κοιναί· ὁ δὲ θυμὸς φυσικώτερον καὶ
ἡ χαλεπότης τῶν ἐπιθυμιῶν τῶν τῆς ὑπερβολῆς καὶ τῶν
μὴ ἀναγκαίων, ὥσπερ ὁ ἀπολογούμενος ὅτι τὸν πατέρα
τύπτοι "καὶ γὰρ οὗτος" ἔφη "τὸν ἑαυτοῦ κἀκεῖνος τὸν ἄνω-
θεν," καὶ τὸ παιδίον δείξας "καὶ οὗτος ἐμέ" ἔφη, "ὅταν ἀνὴρ 10
γένηται· συγγενὲς γὰρ ἡμῖν·" καὶ ὁ ἑλκόμενος ὑπὸ τοῦ υἱοῦ
παύεσθαι ἐκέλευε πρὸς ταῖς θύραις· καὶ γὰρ αὐτὸς ἑλκύ-
3 σαι τὸν πατέρα μέχρις ἐνταῦθα. ἔτι ἀδικώτεροι οἱ ἐπιβου-
λότεροι. ὁ μὲν οὖν θυμώδης οὐκ ἐπίβουλος, οὐδ' ὁ θυμός,
ἀλλὰ φανερός· ἡ δ' ἐπιθυμία, καθάπερ τὴν Ἀφροδίτην 15
φασίν· "δολοπλόκου γὰρ κυπρογενοῦς·" καὶ τὸν κεστὸν ἱμάντα
Ὅμηρος· "πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρο-
νέοντος." ὥστ' εἴπερ ἀδικωτέρα καὶ αἰσχίων ἡ ἀκρασία
αὕτη τῆς περὶ τὸν θυμόν ἐστι, καὶ ἁπλῶς ἀκρασία καὶ
4 κακία πως. ἔτι οὐδεὶς ὑβρίζει λυπούμενος, ὁ δ' ὀργῇ ποιῶν 20
πᾶς ποιεῖ λυπούμενος, ὁ δ' ὑβρίζων μεθ' ἡδονῆς. εἰ οὖν οἷς
ὀργίζεσθαι μάλιστα δίκαιον, ταῦτα ἀδικώτερα, καὶ ἡ ἀκρα-
5 σία ἡ δι' ἐπιθυμίαν· οὐ γάρ ἐστιν ἐν θυμῷ ὕβρις. ὡς μὲν

30. ὁ om. $K^b M^b$ 34. δὴ add. K^b 1149 b 2. αἴσχιον K^b 3. καὶ οὐ Γ: καὶ K^b: οὐ $L^b M^b$

bunun gibi öfke de doğasının sıcaklığı ve çabukluğu yüzünden, aklı dinlese bile, buyurulanı duymaz, hemen öcünü almak için saldırır, çünkü akıl ya da tasarım ona bir küstahlık ya da hakaret olduğunu gösterir göstermez, böyle bir şeyle savaşmak gerektiği sonucunu çıkarıp hemen alevlenir. Arzu ise yalnızca akıl ya da duyum "hoş bir şey var" der demez, tadına bakmak için saldırır. Dolayısıyla öfke aklı bir biçimde izler ama arzu izlemez, o halde beriki daha çirkin, çünkü öfkede kendine egemen olmayan kişi bir biçimde akla yenik düşer, öteki ise akla değil, arzuya. Öte yandan doğal iştahlara kapılmak daha bağışlanabilecek bir şey, çünkü ortak oldukları ölçüde herkes için ortak olan bu tür arzularda da bu böyle. Öfke ve terslik, aşırılığa ve zorunlu olmayan şeylere duyulan arzudan daha doğal bir şey. Tıpkı babasını döven birinin kendini savunması gibi:"O da babasını dövmüştü, onun babası da kendi babasını", sonra da kendi oğlunu göstererek "bu da adam olunca beni dövecek, çünkü bu bizim soyumuza özgü bir gelenek" demiş. Oğlu tarafından sürüklenen baba da kapının önünde durmasını buyurmuş, çünkü kendisi de babasını oraya kadar sürüklemişmiş. Öte yandan içten pazarlıklı olanlar çok daha eğri kişiler. Öfkeli kişi içten pazarlıklı değil, açık, dürüst. Arzu ise, Aphrodite hakkında "kıbrıslı düzenbaz kız" denmesi ya da Homeros'un onun nakışlı kuşağından "aklı başında kişinin bile aklını çelen baştan çıkarıcı"[66] diye sözetmesi gibi. Dolayısıyla bu tür kendine egemen olmama, öfkeye egemen olmamadan daha adaletsiz ve çirkinse, asıl anlamda kendine egemen olmama da öyledir ve belli bir biçimde bir kötülüktür. Ayrıca hiçkimse acı duyarak küstahlık etmez, öfke yüzünden eyleyen herkes ise acı duyarak eyler, oysa küstahlık eden kişi bunu haz duyarak yapar. İmdi daha adaletsiz olan şeylere haklı olarak daha çok öfkeleniyorsak, arzu yüzünden kendine egemen olmama da bunlardan. Öfkede küs-

30 1149b 35 5 10 15 20

τοίνυν αἰσχίων ἡ περὶ ἐπιθυμίας ἀκρασία τῆς περὶ τὸν θυ-
μόν, καὶ ὅτι ἔστιν ἐγκράτεια καὶ ἡ ἀκρασία περὶ ἐπιθυ-
μίας καὶ ἡδονὰς σωματικάς, δῆλον· αὐτῶν δὲ τούτων τὰς 6
διαφορὰς ληπτέον. ὥσπερ γὰρ εἴρηται κατ' ἀρχάς, αἱ
μὲν ἀνθρώπιναί εἰσι καὶ φυσικαὶ καὶ τῷ γένει καὶ τῷ
μεγέθει, αἱ δὲ θηριώδεις, αἱ δὲ διὰ πηρώσεις καὶ νοσή-
ματα. τούτων δὲ περὶ τὰς πρώτας σωφροσύνη καὶ ἀκολα-
σία μόνον ἐστίν· διὸ καὶ τὰ θηρία οὔτε σώφρονα οὔτ' ἀκό-
λαστα λέγομεν ἀλλ' ἢ κατὰ μεταφορὰν καὶ εἴ τινι ὅλως
ἄλλο πρὸς ἄλλο διαφέρει γένος τῶν ζῴων ὕβρει καὶ σι-
ναμωρίᾳ καὶ τῷ παμφάγον εἶναι· οὐ γὰρ ἔχει προαίρεσιν
οὐδὲ λογισμόν, ἀλλ' ἐξέστηκε τῆς φύσεως, ὥσπερ οἱ μαι- 1150ᵃ
νόμενοι τῶν ἀνθρώπων. ἔλαττον δὲ θηριότης κακίας, φοβε- 7
ρώτερον δέ· οὐ γὰρ διέφθαρται τὸ βέλτιον, ὥσπερ ἐν τῷ
ἀνθρώπῳ, ἀλλ' οὐκ ἔχει. ὅμοιον οὖν ὥσπερ ἄψυχον συμ-
βάλλειν πρὸς ἔμψυχον, πότερον κάκιον· ἀσινεστέρα γὰρ ἡ
φαυλότης ἀεὶ ἡ τοῦ μὴ ἔχοντος ἀρχήν, ὁ δὲ νοῦς ἀρχή.
παραπλήσιον οὖν τὸ συμβάλλειν ἀδικίαν πρὸς ἄνθρωπον
ἄδικον. ἔστι γὰρ ὡς ἑκάτερον κάκιον· μυριοπλάσια γὰρ ἂν
κακὰ ποιήσειεν ἄνθρωπος κακὸς θηρίου.

8 Περὶ δὲ τὰς δι' ἁφῆς καὶ γεύσεως ἡδονὰς καὶ λύπας VII.
καὶ ἐπιθυμίας καὶ φυγάς, περὶ ἃς ἥ τε ἀκολασία καὶ ἡ
σωφροσύνη διωρίσθη πρότερον, ἔστι μὲν οὕτως ἔχειν ὥστε
ἡττᾶσθαι καὶ ὧν οἱ πολλοὶ κρείττους, ἔστι δὲ κρατεῖν καὶ
ὧν οἱ πολλοὶ ἥττους· τούτων δ' ὁ μὲν περὶ ἡδονὰς ἀκρατὴς
ὁ δ' ἐγκρατής, ὁ δὲ περὶ λύπας μαλακὸς ὁ δὲ καρτερι-
κός. μεταξὺ δ' ἡ τῶν πλείστων ἕξις, κἂν εἰ ῥέπουσι μᾶλ-

---

25. ante ἐγκράτεια add. ἡ L^b 28. ἀνθρώπιναί K^b Asp.: ἀνθρωπικαί vulg. 32. τινι] fort. τι 33. σινομωρίαι $K^b L^b$ Γ 1150ᵃ 2. βέλτιστον L^b Γ 6. τὸ συμβάλλειν K^b Γ: τοῦτο συμβάλλειν ὥσπερ εἴ τις συμβάλλοι $L^b M^b$ Asp.

tahlık yok. Öyleyse arzuya bağlı kendine egemen olmama, öfkeye bağlı kendine egemen olmamadan daha çirkin ve kendine egemen olma ile kendine egemen olmama bedensel arzularla, hazlarla ilgili, bu açık. Ne ki, bu sonuncular arasındaki ayırımı ele almak gerekiyor. Başta dediğimiz gibi, bunların kimi gerek cins açısından gerekse büyüklük açısından insanca ve doğal; kimi canavarca, kimi de sapkınlık ve hastalık yüzünden. Bunlar arasında yalnızca birincilerle ilgili olarak bir ölçülülük ve haz düşkünlüğü söz konusu. Bunun için vahşi hayvanlara da ölçülü ya da haz düşkünü demeyiz, ancak eğretileme yoluyla bir hayvan cinsini ötekinden yırtıcılık, doymazlık ve saldırganlık açısından ayırırız. Çünkü onlarda ne tercih var ne de muhakeme. Tıpkı deliren insanların "normal" insanlardan ayrılması gibi, doğadan ayrılmışlardır. Canavarlık kötülükten daha hafif ama daha korkutucu. İnsandaki gibi, ruhun daha iyi yanı ortadan kalkmış değildir, zaten yoktur. Demek ki, hangisi daha kötü diye sormak, canlı olanla cansız olanı karşılaştırmaya benzer. Bir ilke taşımayan kötülük her zaman daha masumdur, ilke ustur. İmdi haksızlığın adaletsiz insanla ilgi içinde açıklanması buna yakın bir şey. Çünkü iki kişiden herbiri bir biçimde ötekinden daha kötü olabilir, nitekim kötü bir insan, bir hayvandan binlerce kez daha kötü şeyler yapabilir.

Daha önce haz düşkünlüğü ile ölçülülüğü onlara bağlı olarak belirlediğimiz dokunma ve tadalmayla ilgili hazlar ve acılara; arzulara-kaçınmalara gelince: Bunlarda çoğunluğun yendiği şeylere yenik düşecek şekilde davranmak olanaklı, çoğunluğun yenik düştüğü şeyleri yenmek de olanaklı. Bunlar içinde hazlarla ilgili olarak birine "kendine egemen olmayan", ötekine "kendine egemen olan"; acılarla ilgili olarak da birine "zayıf karakterli", ötekine "sağlam karakterli denir. Çoğunluğun huyu, daha çok daha kötüye

2 λον πρὸς τὰς χείρους. ἐπεὶ δ' ἔνιαι τῶν ἡδονῶν ἀναγκαῖαί εἰσιν αἱ δ' οὔ, καὶ μέχρι τινός, αἱ δ' ὑπερβολαὶ οὔ, οὐδ' αἱ ἐλλείψεις, ὁμοίως δὲ καὶ περὶ ἐπιθυμίας ἔχει καὶ λύπας, ὁ μὲν τὰς ὑπερβολὰς διώκων τῶν ἡδέων †ἢ καθ' ὑπερβολὰς† ἢ διὰ προαίρεσιν, δι' αὐτὰς καὶ μηδὲν δι' ἕτερον ἀποβαῖ- 20
νον, ἀκόλαστος· ἀνάγκη γὰρ τοῦτον μὴ εἶναι μεταμελητικόν, ὥστ' ἀνίατος· ὁ γὰρ ἀμεταμέλητος ἀνίατος. ὁ δ' ἐλλείπων ὁ ἀντικείμενος, ὁ δὲ μέσος σώφρων. ὁμοίως δὲ καὶ ὁ φεύ-
3 γων τὰς σωματικὰς λύπας μὴ δι' ἧτταν ἀλλὰ διὰ προ- 25
αίρεσιν. τῶν δὲ μὴ προαιρουμένων ὁ μὲν ἄγεται διὰ τὴν ἡδονήν, ὁ δὲ διὰ τὸ φεύγειν τὴν λύπην τὴν ἀπὸ τῆς ἐπιθυμίας, ὥστε διαφέρουσιν ἀλλήλων. παντὶ δ' ἂν δόξειε χείρων εἶναι, εἴ τις μὴ ἐπιθυμῶν ἢ ἠρέμα πράττοι τι αἰσχρόν, ἢ εἰ σφόδρα ἐπιθυμῶν, καὶ εἰ μὴ ὀργιζόμενος τύπτοι ἢ εἰ ὀργιζόμενος· τί γὰρ ἂν ἐποίει ἐν πάθει ὤν; διὸ ὁ ἀκό- 30
λαστος χείρων τοῦ ἀκρατοῦς. τῶν δὴ λεχθέντων τὸ μὲν μα-
4 λακίας εἶδος μᾶλλον, ὃ δ' ἀκόλαστος. ἀντίκειται δὲ τῷ μὲν ἀκρατεῖ ὁ ἐγκρατής, τῷ δὲ μαλακῷ ὁ καρτερικός· τὸ μὲν γὰρ καρτερεῖν ἐστὶν ἐν τῷ ἀντέχειν, ἡ δ' ἐγκράτεια ἐν τῷ κρατεῖν, ἕτερον δὲ τὸ ἀντέχειν καὶ κρατεῖν, ὥσπερ 35
καὶ τὸ μὴ ἡττᾶσθαι τοῦ νικᾶν· διὸ καὶ αἱρετώτερον ἐγκρά-
5 τεια καρτερίας ἐστίν. ὁ δ' ἐλλείπων πρὸς ἃ οἱ πολλοὶ καὶ 1150 b
ἀντιτείνουσι καὶ δύνανται, οὗτος μαλακὸς καὶ τρυφῶν· καὶ γὰρ ἡ τρυφὴ μαλακία τίς ἐστιν· ὃς ἕλκει τὸ ἱμάτιον, ἵνα μὴ πονήσῃ τὴν ἀπὸ τοῦ αἴρειν λύπην, καὶ μιμούμενος τὸν
6 κάμνοντα οὐκ οἴεται ἄθλιος εἶναι, ἀθλίῳ ὅμοιος ὤν. ὁμοίως 5
δ' ἔχει καὶ περὶ ἐγκράτειαν καὶ ἀκρασίαν. οὐ γὰρ εἴ τις ἰσχυρῶν καὶ ὑπερβαλλουσῶν ἡδονῶν ἥττᾶται ἢ λυπῶν,

---

19. ἢ καθ' ὑπερβολὴν M^b: fort. ᾗ ὑπερβολαί, 20. ἢ] καὶ M^b 28. πράττει $L^b M^b \Gamma$ Asp. 29. τύπτει $L^b M^b \Gamma$ Asp.

eğilimli olsa bile, arada bir yerdedir. Madem hazlardan bazıları zorunlu, bazıları değil ve bunlar bir yere kadar istenebilecek hazlar, ama aşırılıklar da eksiklikler de istenecek şeyler değil; arzularla ve acılarla ilgili olarak da bu böyle; ya aşırı biçimde ya da tercih yoluyla, ulaşılacak başka bir şey için değil, kendi başına aşırı hoş şeylerin peşinde koşan kişi haz düşkünüdür. Onun pişman olmayan bir kişi de olması zorunlu, dolayısıyla düzelmez biri. Çünkü pişmanlık duymayan kişi düzelemez. Karşıtı, bu konuda eksik kalan, orta ise "ölçülü kişi". Bedensel acılardan, onlara yenik düştüğü için değil, tercih yoluyla kaçan kişi de böyle. Tercih etmeyen kişilere gelince: Bunlardan kimi haz uğruna eyler, kimi ise arzudan kaynaklanan acıdan kaçması yüzünden, dolayısıyla biribirlerinden farklıdırlar. Herkes şöyle düşünse gerek: Arzu etmeden ya da pek az arzu ettiği için çirkin bir şey yapan kişi, çok arzu ettiğinden ötürü bunu yapan kişiden; öfkelenmeden birine vuran da öfkelendiği için vurandan daha kötüdür. Çünkü heyecan içinde olan kişi ne yapsın? Bunun için haz düşkünü olan, kendine egemen olmayandan daha kötüdür. İmdi söylediklerimizden biri, daha çok bir zayıflık türü, öteki ise haz düşkünü. Kendine egemen olmayanla kendine egemen olan, zayıf karakterliyle de sağlam karakterli biribirine karşıt. Sağlam karakterli olmak karşı koymakta, kendine egemen olmak ise üstün olmakta: Nasıl yenilmemek yenmekten farklıysa, karşı koymak da üstün gelmekten farklı. Bunun için kendine egemen olmak sağlam karakterlilikten daha tercih edilecek bir şey. Çoğunluğun karşı koyduğu ve başarabildiği şeyler karşısında yetersiz kalan kişi zayıf ve şımarık biridir, nitekim şımarıklık da bir tür zayıflık. Ucunu kaldırmak zahmetine katlanmamak için pelerinini sürükler, hastaymış gibi yaparken, sefil bir adama benzemesine karşın sefil olduğunu düşünmez. Kendine egemen olma ve kendine egemen olmama konusunda da bu böyle. Çünkü biri son derece güçlü ve aşırı hazlara ya da acılara yenik düşüyorsa,

θαυμαστόν, ἀλλὰ συγγνωμονικὸν εἰ ἀντιτείνων, ὥσπερ ὁ Θεοδέκτου Φιλοκτήτης ὑπὸ τοῦ ἕχεως πεπληγμένος ἢ ὁ Καρκίνου ἐν τῇ Ἀλόπῃ Κερκύων, καὶ ὥσπερ οἱ κατέχειν πειρώμενοι τὸν γέλωτα ἀθρόον ἐκκαγχάζουσιν, οἷον συνέπεσε Ξενοφάντῳ· ἀλλ' εἴ τις πρὸς ἃς οἱ πολλοὶ δύνανται ἀντέχειν, τούτων ἡττᾶται καὶ μὴ δύναται ἀντιτείνειν, μὴ διὰ φύσιν τοῦ γένους ἢ διὰ νόσον, οἷον ἐν τοῖς Σκυθῶν βασιλεῦσιν ἡ μαλακία διὰ τὸ γένος, καὶ ὡς τὸ θῆλυ πρὸς τὸ ἄρρεν διέστηκεν. δοκεῖ δὲ καὶ ὁ παιδιώδης ἀκόλαστος εἶναι, 7
ἔστι δὲ μαλακός. ἡ γὰρ παιδιὰ ἄνεσίς ἐστιν, εἴπερ ἀνάπαυσις· τῶν δὲ πρὸς ταύτην ὑπερβαλλόντων ὁ παιδιώδης ἐστίν. ἀκρασίας δὲ τὸ μὲν προπέτεια τὸ δ' ἀσθένεια. οἱ 8
μὲν γὰρ βουλευσάμενοι οὐκ ἐμμένουσιν οἷς ἐβουλεύσαντο διὰ τὸ πάθος, οἱ δὲ διὰ τὸ μὴ βουλεύσασθαι ἄγονται ὑπὸ τοῦ πάθους· ἔνιοι γάρ, ὥσπερ προγαργαλίσαντες οὐ γαργαλίζονται, οὕτω καὶ προαισθόμενοι καὶ προϊδόντες καὶ προεγείραντες ἑαυτοὺς καὶ τὸν λογισμὸν οὐχ ἥττωνται ὑπὸ τοῦ πάθους, οὔτ' ἂν ἡδὺ ᾖ οὔτ' ἂν λυπηρόν. μάλιστα δ' οἱ ὀξεῖς καὶ μελαγχολικοὶ τὴν προπετῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς· οἱ μὲν γὰρ διὰ τὴν ταχυτῆτα οἱ δὲ διὰ τὴν σφοδρότητα οὐκ ἀναμένουσι τὸν λόγον, διὰ τὸ ἀκολουθητικοὶ εἶναι τῇ φαντασίᾳ.

9 Ἔστι δ' ὁ μὲν ἀκόλαστος, ὥσπερ ἐλέχθη, οὐ μεταμε- VIII.
λητικός· ἐμμένει γὰρ τῇ προαιρέσει· ὁ δ' ἀκρατὴς μεταμελητικὸς πᾶς. διὸ οὐχ ὥσπερ ἠπορήσαμεν, οὕτω καὶ ἔχει, ἀλλ' ὁ μὲν ἀνίατος ὁ δ' ἰατός· ἔοικε γὰρ ἡ μὲν μοχθηρία τῶν νοσημάτων οἷον ὑδέρῳ καὶ φθίσει, ἡ δ' ἀκρασία τοῖς ἐπιληπτικοῖς· ἡ μὲν γὰρ συνεχὴς ἡ δ' οὐ συνεχὴς πονηρία. καὶ ὅλως δ' ἕτερον τὸ γένος ἀκρασίας καὶ κα-

---

1150ᵇ 11. ἀθρόον ἐκκαγχλάζουσιν pr. K^b 17. εἴπερ] εἴπερ οὖν K^b M^h Γ 22. προγαργαλισθέντες L^b M^b: οἱ προγαργαλισθέντες Asp. 23. προαισθανόμενοι pr. K^b M^b 32. εὐίατος, ὁ δ' ἀνίατος L^b

bu şaşılacak bir şey değil, hatta karşı çıkmaya çalışmışsa affedilir bir şey: Tıpkı, yılanın soktuğu, Theodektes'in Philoktetes'i, Karkinos'un *Alope*'sindeki Kerkyon gibi,[67] ya da Ksenophantes'in başına gelen şey: Gülmemek için kendini tutmaya çalışırken bir anda gülmekten kırılan kişiler gibi. Oysa çoğunluğun başedebildiği şeyler karşısında, soyunun doğasına ya da bir hastalığa bağlı olmadan (sözgelişi İskitlerin krallarında zayıflık soya bağlı) ve kadının erkekten farklılığı gibi bir nedene bağlı olmadan, başedemezse ve bunlara yenilirse şaşılacak bir şey olur. Hovarda da haz düşkünü diye düşünülür, oysa o yalnızca zayıftır, çünkü eğlence bir durak gibi, bir yenilenme. Bunda aşırıya kaçanlar hovarda. Kendine egemen olmamanın bir türü güç eksikliği, bir türü de kendini koyvermedir. Birinciler düşünüp taşındığı halde, tutku yüzünden, üzerinde düşünüp taşındığı şeyde tutarlı kalmaz, berikiler düşünüp taşınmadıkları için tutku tarafından sürüklenir. Bazıları da gıdıklanmamak amacıyla önceden kendini gıdıklayanlar gibi, önceden duyarak, önceden görerek kendilerini ve muhakemelerini önceden uyanık tutarak, ister hoş ister acı verecek bir şey olsun, tutkuya yenilmez. Özellikle çabuk öfkelenenler ve karasevdalılar kendilerini koyverme açısından kendilerine egemen değiller. Çünkü birinciler acelecilik yüzünden, berikiler de hissettikleri şeyin yoğun baskısı yüzünden tasarımlarını izlediklerinden ötürü akla bağlı kalmaz.

İmdi dediğimiz gibi, haz düşkünü kişi pişmanlık duyan biri değil, çünkü o tercihinde tutarlı. Oysa her kendine egemen olmayan kişi pişmanlık duyar. Bunun için böyle olması da daha önce soruşturduğumuz gibi değil; biri iyileşmez, öteki düzelebilir. Nitekim bu kötülük hastalıklar içinde bedenin su toplamasına ve vereme benzer, oysa kendine egemen olmama sara hastalığına benzer. Biri sürekli, öteki sürekli olmayan bir kötülük. Genelde kendine egemen olmama ve kötülük farklı

κίας· ἡ μὲν γὰρ κακία λανθάνει, ἡ δ' ἀκρασία οὐ λανθάνει.
2 αὐτῶν δὲ τούτων βελτίους οἱ ἐκστατικοὶ ἢ οἱ τὸν λόγον 1151ᵃ
ἔχοντες μέν, μὴ ἐμμένοντες δέ· ὑπ' ἐλάττονος γὰρ πάθους
ἡττῶνται, καὶ οὐκ ἀπροβούλευτοι ὥσπερ ἄτεροι· ὅμοιος γὰρ
ὁ ἀκρατὴς ἐστι τοῖς ταχὺ μεθυσκομένοις καὶ ὑπ' ὀλίγου
3 οἴνου καὶ ἐλάττονος ἢ ὡς οἱ πολλοί. ὅτι μὲν οὖν κακία ἡ 5
ἀκρασία οὐκ ἔστι, φανερόν (ἀλλὰ πῇ ἴσως)· τὸ μὲν γὰρ
παρὰ προαίρεσιν τὸ δὲ κατὰ τὴν προαίρεσίν ἐστιν· οὐ μὴν ἀλλ'
ὅμοιόν γε κατὰ τὰς πράξεις, ὥσπερ τὸ Δημοδόκου εἰς Μι-
λησίους "Μιλήσιοι ἀξύνετοι μὲν οὐκ εἰσίν, ὁρῶσιν δ' οἷάπερ
ἀξύνετοι," καὶ οἱ ἀκρατεῖς ἄδικοι μὲν οὐκ εἰσίν, ἀδικήσουσι δέ. 10
4 ἐπεὶ δ' ὁ μὲν τοιοῦτος οἷος μὴ διὰ τὸ πεπεῖσθαι διώκειν
τὰς καθ' ὑπερβολὴν καὶ παρὰ τὸν ὀρθὸν λόγον σωμα-
τικὰς ἡδονάς, ὁ δὲ πέπεισται διὰ τὸ τοιοῦτος εἶναι οἷος
διώκειν αὐτάς, ἐκεῖνος μὲν οὖν εὐμετάπειστος, οὗτος δὲ οὔ·
ἡ γὰρ ἀρετὴ καὶ μοχθηρία τὴν ἀρχὴν ἡ μὲν φθείρει ἡ 15
δὲ σῴζει, ἐν δὲ ταῖς πράξεσι τὸ οὗ ἕνεκα ἀρχή, ὥσπερ ἐν
τοῖς μαθηματικοῖς αἱ ὑποθέσεις· οὔτε δὴ ἐκεῖ ὁ λόγος δι-
δασκαλικὸς τῶν ἀρχῶν οὔτε ἐνταῦθα, ἀλλ' ἀρετὴ ἢ φυσικὴ
ἢ ἐθιστὴ τοῦ ὀρθοδοξεῖν περὶ τὴν ἀρχήν. σώφρων μὲν οὖν ὁ
5 τοιοῦτος, ἀκόλαστος δ' ὁ ἐναντίος. ἔστι δέ τις διὰ πάθος ἐκ- 20
στατικὸς παρὰ τὸν ὀρθὸν λόγον, ὃν ὥστε μὲν μὴ πράττειν
κατὰ τὸν ὀρθὸν λόγον κρατεῖ τὸ πάθος, ὥστε δ' εἶναι τοιοῦ-
τον οἷον πεπεῖσθαι διώκειν ἀνέδην δεῖν τὰς τοιαύτας ἡδο-
νὰς οὐ κρατεῖ· οὗτός ἐστιν ὁ ἀκρατής, βελτίων ⟨ὢν⟩ τοῦ ἀκο-
λάστου, οὐδὲ φαῦλος ἁπλῶς· σῴζεται γὰρ τὸ βέλτιστον, ἡ 25
ἀρχή. ἄλλος δ' ἐναντίος, ὁ ἐμμενετικὸς καὶ οὐκ ἐκστατικὸς

1151ᵃ 6. *οὐκ* om. pr. $K^b L^b$ 7. *τὴν* om. M^b 9. *ἀξύνετοι* O^b: *οἱ ἀξύνετοι* vulg. 10. *ἀδικήσουσι* K^b: *ἀδικοῦσι* vulg. 14. *αὐτάς*] *αὐτός* pr. K^b *μετάπειστος* pr. K^b *οὗτος*] ὁ Victorius 15. post *καὶ* add. *ἡ* L^b 24. *ὢν* add. Aldina 25. *οὐδὲ*] ὁ δὲ $K^b L^b$

bir tür, çünkü kötülük gizli kalır, kendine egemen olmama gizli kalmaz. Kendine egemen olmayanlar içinde, kendinden geçtiği için böyle olup, bu durumu sürdürmeyenler akla sahip olanlardan daha iyidir. Çünkü bunlar çok küçük bir tutkuya yenik düşerler, ötekiler gibi tasarlayıp kurmazlar. Kendine egemen olmayan kişi çabucak ve çoğunluğun olduğundan daha az şarapla sarhoş olan kişilere benzer. İmdi kendine egemen olmama bir kötülük değil, bu açık (ama herhalde belli bir biçimde). Nitekim biri tercihe aykırı, öteki tercihe uygun. Gene de eylemlerde bir benzerlik yok değil: Tıpkı Demodokos'un Miletoslular için dediği gibi: "miletoslular aptal değil, ama aptalların yaptığı şeyler yapıyorlar". Kendine egemen olamayan kişiler adaletsiz kişiler değil ama adaletsizlik yapıyorlar. Biri aşırı ve sağ akla aykırı olarak bedensel hazları izlemeye <aslında> ikna olmamış olmasından ötürü, öteki bunların peşinde koşacak bir yapıda olması yüzünden buna ikna olmuş biri olduğundan ötürü, ilki vazgeçebilir, beriki vazgeçmez. İlki açısından, erdem ilkeyi korur, öteki ise ilkeyi ortadan kaldırır: Eylemlerde ilke ereksel nedendir, tıpkı matematikteki kabuller gibi. Ne o alanda ne de burada ilkeleri öğretecek olan şey akıl yürütme değil, doğal bir erdem ya da ilke konusunda doğru sanı alışkanlığı kazanmış olan bir erdemdir. İmdi ölçülü kişi işte böyle biri, haz düşkünü olan da karşıtı. Ayrıca biri bir tutku yüzünden kendini kaybedebilir, tutku onu öyle güder ki, sağ akla uygun davranamaz, dolayısıyla sakınmadan hazların peşinden koşmak gerektiğine inanabilir. İşte kendine egemen olmayan kişi bu; haz düşkünü olandan daha iyi olduğu için asıl anlamda kötü değildir, çünkü 'en iyi', yani ilke korunur. Tutkusu yüzünden kendinden geçmiş olmayan ve caymayan kişi ise, buna karşıt olan başka tür bir

1151a

διά γε τὸ πάθος. φανερὸν δὴ ἐκ τούτων ὅτι ἡ μὲν σπουδαία ἕξις, ἡ δὲ φαύλη.

Πότερον οὖν ἐγκρατής ἐστιν ὁ ὁποιῳοῦν λόγῳ καὶ ὁποιῳοῦν προαιρέσει ἐμμένων ἢ ὁ τῇ ὀρθῇ, καὶ ἀκρατὴς δὲ ὁ ὁποιῳοῦν μὴ ἐμμένων προαιρέσει καὶ ὁποιῳοῦν λόγῳ ἢ ὁ τῷ μὴ ψευδεῖ λόγῳ καὶ τῇ προαιρέσει τῇ ὀρθῇ, ὥσπερ ἠπορήθη πρότερον; ἢ κατὰ μὲν συμβεβηκὸς ὁποιῳοῦν, καθ' αὑτὸ δὲ τῷ ἀληθεῖ λόγῳ καὶ τῇ ὀρθῇ προαιρέσει ὁ μὲν ἐμμένει ὁ δ' οὐκ ἐμμένει; εἰ γάρ τις τοδὶ διὰ τοδὶ αἱρεῖται ἢ διώκει, καθ' αὑτὸ μὲν τοῦτο διώκει καὶ αἱρεῖται, κατὰ συμβεβηκὸς δὲ τὸ πρότερον. ἁπλῶς δὲ λέγομεν τὸ καθ' αὑτό. ὥστε ἔστι μὲν ὡς ὁποιῳοῦν δόξῃ ὁ μὲν ἐμμένει ὁ δ' ἐξίσταται, ἁπλῶς δὲ [ὁ] τῇ ἀληθεῖ. εἰσὶ δέ τινες οἳ 2 ἐμμενετικοὶ τῇ δόξῃ εἰσίν, οὓς καλοῦσιν ἰσχυρογνώμονας, οἱ δύσπειστοι καὶ οὐκ εὐμετάπειστοι· οἳ ὅμοιον μέν τι ἔχουσι τῷ ἐγκρατεῖ, ὥσπερ ὁ ἄσωτος τῷ ἐλευθερίῳ καὶ ὁ θρασὺς τῷ θαρραλέῳ, εἰσὶ δ' ἕτεροι κατὰ πολλά. ὁ μὲν γὰρ διὰ πάθος καὶ ἐπιθυμίαν οὐ μεταβάλλει [ὁ ἐγκρατής], ἐπεὶ εὔπειστος, ὅταν τύχῃ, ἔσται ὁ ἐγκρατής· οἳ δὲ οὐχ ὑπὸ λόγου, ἐπεὶ ἐπιθυμίας γε λαμβάνουσι, καὶ ἄγονται πολλοὶ ὑπὸ τῶν ἡδονῶν. εἰσὶ δὲ ἰσχυρογνώμονες οἱ ἰδιογνώμονες 3 καὶ οἱ ἀμαθεῖς καὶ οἱ ἄγροικοι, οἱ μὲν ἰδιογνώμονες δι' ἡδονὴν καὶ λύπην· χαίρουσι γὰρ νικῶντες ἐὰν μὴ μεταπείθωνται, καὶ λυποῦνται ἐὰν ἄκυρα τὰ αὐτῶν ᾖ ὥσπερ ψηφίσματα· ὥστε μᾶλλον τῷ ἀκρατεῖ ἐοίκασιν ἢ τῷ ἐγ-

IX.

---

29. ὁ om. pr. K^b 30. ὁ post δὲ om. pr. $K^b L^b$ 32. μὴ add. L^b ὀρθῇ L^b: μὴ ὀρθῇ vulg. 33. ante ὁποιῳοῦν add. ὁ M^b Γ 34. τῷ] ὁ τῷ $K^b M^b$ Γ 1151b 4. ὁ om. Turnebus οἳ corr.^{2} K^b: οἱ pr. K^b L^b Γ: καὶ M^b 5. εἰσίν K^b: εἰσὶ δὲ L^b Γ: om. M^b οἱ pr. K^b: οἷον vulg. 7. ὥσπερ] οἷον $K^b M^b$ Γ 9. ὁ ἐγκρατής seclus. Scaliger 10. οἳ Γ: ὁ codd. 15. αὑτῶν Ramsauer

kişidir. Bütün bunlardan şu açık: Biri erdemli bir huy, öteki kötü bir huy.

İmdi acaba kendine egemen kişi herhangi bir akıl yürütmede ya da herhangi bir tercihte tutarlı olan kişi mi, yoksa doğru olanda tutarlı olan kişi mi? Daha önce sorguladığımız gibi, kendine egemen olmayan kişi de, herhangi bir tercih ve herhangi bir akıl yürütmede mi tutarlı olmayan kişi, yoksa yanlış olmayan akıl yürütmede ve doğru tercihte tutarlı kalmayan kişi mi? Ya da acaba herhangi birinde ilineksel olarak mı, yoksa 'kendi başına' doğru akıl yürütmede ve doğru tercihte mi biri tutarlı, öteki değil? Nitekim biri bir şeyi başka bir şeyden ötürü tercih eder ya da onun peşinden koşarsa, kendi başına peşinden koşulan ve tercih edilen şey bu en son şeydir, daha önceki ise ilineksel anlamda. Oysa biz saltık anlamda kendi başına olan şeyden sözediyoruz. Dolayısıyla herhangi bir sanıda biri tutarlı kalır, öteki cayar, oysa saltık anlamda doğru sanıdan sözedilebilir. Üstelik kimi kişiler var, bunlar zor ikna olan ve kolayca fikir değiştirmeyen kişilerdir, "inatçı" adını verdiğimiz sanılarına bağlı kişiler. Nasıl savurganın cömertle, atak kişinin saldırganla bir benzerliği varsa, bunların da kendine egemen kişiyle bir benzerliği var, ama pek çok bakımdan ayrılırlar. Kendine egemen kişi tutku ya da arzu yüzünden değişmez, yeri geldiğinde ikna olduğu için kendine egemen kişidir. Oysa inatçılar arzuya kapılabildikleri için, akıl tarafından değil, hazlar tarafından güdülebilirler. Dik kafalılar, cahiller, hödükler inatçıdır. Dik kafalılar haz ya da acı yüzünden böyledirler, nitekim onlar boyun eğmezlerse, yendikleri için sevinirler, sözgelişi oylamada onların düşüncesi geri çevrilirse, acı duyarlar. Dolayısıyla kendine egemen olan kişiden çok, egemen olmayan kişiye benziyorlar.

4 κρατεῖ. εἰσὶ δέ τινες οἳ τοῖς δόξασιν οὐκ ἐμμένουσιν οὐ δι' ἀκρασίαν, οἷον ἐν τῷ Φιλοκτήτῃ τῷ Σοφοκλέους ὁ Νεοπτόλεμος· καίτοι δι' ἡδονὴν οὐκ ἐνέμεινεν, ἀλλὰ καλήν· τὸ γὰρ ἀληθεύειν αὐτῷ καλὸν ἦν, ἐπείσθη δ' ὑπὸ τοῦ Ὀδυσσέως ψεύδεσθαι. οὐ γὰρ πᾶς ὁ δι' ἡδονήν τι πράττων οὔτ' ἀκόλαστος οὔτε φαῦλος οὔτ' ἀκρατής, ἀλλ' ὁ δι' αἰσχράν.

5 Ἐπεὶ δ' ἔστι τις καὶ τοιοῦτος οἷος ἧττον ἢ δεῖ τοῖς σωματικοῖς χαίρειν, καὶ οὐκ ἐμμένων τῷ λόγῳ, ὁ [τοιοῦτος] τούτου καὶ τοῦ ἀκρατοῦς μέσος ὁ ἐγκρατής· ὁ μὲν γὰρ ἀκρατὴς οὐκ ἐμμένει τῷ λόγῳ διὰ τὸ μᾶλλόν τι, οὗτος δὲ διὰ τὸ ἧττόν τι· ὁ δ' ἐγκρατὴς ἐμμένει καὶ οὐδὲ δι' ἕτερον μεταβάλλει. δεῖ δέ, εἴπερ ἡ ἐγκράτεια σπουδαῖον, ἀμφοτέρας τὰς ἐναντίας ἕξεις φαύλας εἶναι, ὥσπερ καὶ φαίνονται· ἀλλὰ διὰ τὸ τὴν ἑτέραν ἐν ὀλίγοις καὶ ὀλιγάκις εἶναι φανεράν, ὥσπερ ἡ σωφροσύνη τῇ ἀκολασίᾳ δοκεῖ ἐναντίον

6 εἶναι μόνον, οὕτω καὶ ἡ ἐγκράτεια τῇ ἀκρασίᾳ. ἐπεὶ δὲ καθ' ὁμοιότητα πολλὰ λέγεται, καὶ ἡ ἐγκράτεια ἡ τοῦ σώφρονος καθ' ὁμοιότητα ἠκολούθηκεν· ὅ τε γὰρ ἐγκρατὴς οἷος μηδὲν παρὰ τὸν λόγον διὰ τὰς σωματικὰς ἡδονὰς ποιεῖν καὶ ὁ σώφρων, ἀλλ' ὁ μὲν ἔχων ὃ δ' οὐκ ἔχων 1152ᵃ φαύλας ἐπιθυμίας, καὶ ὁ μὲν τοιοῦτος οἷος μὴ ἥδεσθαι παρὰ τὸν λόγον, ὁ δ' οἷος ἥδεσθαι ἀλλὰ μὴ ἄγεσθαι.

7 ὅμοιοι δὲ καὶ ὁ ἀκρατὴς καὶ ἀκόλαστος, ἕτεροι μὲν ὄντες, ἀμφότεροι δὲ τὰ σωματικὰ ἡδέα διώκουσιν, ἀλλ' ὁ μὲν καὶ

X. οἰόμενος δεῖν, ὁ δ' οὐκ οἰόμενος. Οὐδ' ἅμα φρόνιμον καὶ ἀκρατῆ ἐνδέχεται εἶναι τὸν αὐτόν· ἅμα γὰρ φρόνιμος καὶ

2 σπουδαῖος τὸ ἦθος δέδεικται ὤν. ἔτι οὐ τῷ εἰδέναι μόνον φρόνιμος ἀλλὰ καὶ τῷ πρακτικός· ὁ δ' ἀκρατὴς οὐ πρακτικός

---

21. οὔτ' K^b: ἢ L^b M^b: om. Γ 22. οὔτε—οὔτ' K^b: ἢ—ἢ L^b M^b Γ
24. χαίρειν Asp.: χαίρων codd. ὁ] ᾗ M^b *τοιοῦτος* seclusi
1152ᵃ 4. ἀκόλαστος K^b: ὁ ἀκόλαστος vulg.

Kimileri de var, bunlar Sophokles'in *Philoktetes*'indeki Neoptolemos gibi, sanılarında direşken değiller, ama bunun nedeni kendine egemen olmama değil. Gerçi <Neoptolemos> bir haz yüzünden fikir değiştirmiştir, ama güzel bir haz yüzünden. Çünkü onun için gerçeği söylemek güzel bir şeydi ve onu Odysseus yalan söylemeye ikna edemedi. Haz uğruna bir şey yapan herkes haz düşkünü, kötü ya da kendine egemen olmayan kişi değildir, ama çirkin bir haz yüzünden bir şey yaparsa böyledir.

Madem bedensel hazlardan, gerektiğinden az hoşlanan ve akla bağlı kalmayan kişi de var, bu kendine egemen olmayan ile kendine egemen olan arası biri olsa gerek. Çünkü kendine egemen olmayan kişi, bir şeyin çokluğu yüzünden akla bağlı kalmaz, bu ise bir şeyin azlığı yüzünden. Kendine egemen kişi ise akla bağlı kalır, bir başka şey yüzünden de değişmez. Ama kendine egemen olma erdemli bir şey olduğu için, açıkca görüleceği gibi, heriki karşıt huyun da kötü olması gerekir. Ne ki bu durum yalnızca az kişide ve ender olarak görüldüğünden, nasıl ölçülülük yalnızca haz düşkünlüğüne karşıt diye düşünülüyorsa, aynı şekilde kendine egemen olma da yalnızca kendine egemen olmamaya karşıt. Madem pek çok durumda bir benzerliğe göre ad veriyoruz, ölçülü kişinin kendine egemen olmasından sözedilmesi de benzerlikten ötürü. Çünkü hem kendine egemen kişinin bedensel hazlar yüzünden akla aykırı bir şey yapması olanaklı değil, hem de ölçülü kişinin. Ama birincisi kötü arzular taşımasına karşın, beriki ise kötü arzular taşımadığı için; yine beriki akla aykırı bir şeyden hoşlanamayacak kişi olduğundan, ilki ise bundan hoşlanabilecek bir kişi olmasına karşın, kendini bırakmadığından böyle bir şey yapmaz. Kendine egemen olmayan kişi ile haz düşkünü kişi farklı olsalar bile, biribirine benzer, herikisi de bedensel hazların peşinde koşar, ama beriki bunu yapması gerektiğine inandığı için, ilki ise bunu yapmaması gerektiğine inanmasına karşın. Öte yandan aynı kişinin aynı anda hem aklı başında hem de kendine egemen olmayan kişi olması olası değil. Nitekim aklı başında kişinin karakter bakımından da erdemli olduğunu göstermiştik. Aklı başında kişi yalnızca bilmekte değil, uygulamada da böyledir. Kendine egemen olmayan kişi ise uygulamacı biri değildir

—τὸν δὲ δεινὸν οὐδὲν κωλύει ἀκρατῆ εἶναι· διὸ καὶ δοκοῦσιν ἐνίοτε φρόνιμοι μὲν εἶναί τινες ἀκρατεῖς δέ, διὰ τὸ τὴν δεινότητα διαφέρειν τῆς φρονήσεως τὸν εἰρημένον τρόπον ἐν τοῖς πρώτοις λόγοις, καὶ κατὰ μὲν τὸν λόγον ἐγγὺς εἶναι, διαφέρειν δὲ κατὰ τὴν προαίρεσιν—οὐδὲ δὴ ὡς ὁ εἰδὼς καὶ θεωρῶν, ἀλλ' ὡς ὁ καθεύδων ἢ οἰνωμένος. καὶ ἐκὼν μέν (τρόπον γάρ τινα εἰδὼς καὶ ὃ ποιεῖ καὶ οὗ ἕνεκα), πονηρὸς δ' οὔ· ἡ γὰρ προαίρεσις ἐπιεικής· ὥσθ' ἡμιπόνηρος. καὶ οὐκ ἄδικος· οὐ γὰρ ἐπίβουλος· ὁ μὲν γὰρ αὐτῶν οὐκ ἐμμενετικὸς οἷς ἂν βουλεύσηται, ὁ δὲ μελαγχολικὸς οὐδὲ βουλευτικὸς ὅλως. καὶ ἔοικε δὴ ὁ ἀκρατὴς πόλει ἢ ψηφίζεται μὲν ἅπαντα τὰ δέοντα καὶ νόμους ἔχει σπουδαίους, χρῆται δὲ οὐδέν, ὥσπερ Ἀναξανδρίδης ἔσκωψεν

ἡ πόλις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει·

ὁ δὲ πονηρὸς χρωμένῃ μὲν τοῖς νόμοις, πονηροῖς δὲ χρωμένῃ. ἔστι δ' ἀκρασία καὶ ἐγκράτεια περὶ τὸ ὑπερβάλλον τῆς τῶν πολλῶν ἕξεως· ὁ μὲν γὰρ ἐμμένει μᾶλλον ὃ δ' ἧττον τῆς τῶν πλείστων δυνάμεως. εὐιατοτέρα δὲ τῶν ἀκρασιῶν, ἣν οἱ μελαγχολικοὶ ἀκρατεύονται, τῶν βουλευομένων μὲν μὴ ἐμμενόντων δέ, καὶ οἱ δι' ἐθισμοῦ ἀκρατεῖς τῶν φυσικῶν· ῥᾷον γὰρ ἔθος μετακινῆσαι φύσεως· διὰ γὰρ τοῦτο καὶ τὸ ἔθος χαλεπόν, ὅτι τῇ φύσει ἔοικεν, ὥσπερ καὶ Εὔηνος λέγει

φημὶ πολυχρόνιον μελέτην ἔμεναι, φίλε, καὶ δή
ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι.

τί μὲν οὖν ἐστὶν ἐγκράτεια καὶ τί ἀκρασία καὶ τί καρτερία καὶ τί μαλακία, καὶ πῶς ἔχουσιν αἱ ἕξεις αὗται πρὸς ἀλλήλας, εἴρηται.

---

21. οὐδὲν K^b: οὐδενὶ vulg. 28. βουλευσαμένων $K^b M^b$ 29. τῶν φύσει Ramsauer

– ne ki kıvrak zekalı kişinin kendine egemen olmayan kişi olmasına bir engel yok, bu nedenle kimi zaman bazı kendine egemen olmayan kişiler kıvrak zekalarından ötürü aklı başında görünürler, oysa daha önce söylediğimiz gibi, aklı başındalıktan ayrıdır bu. Temellendirme açısından yakındır ama tercih açısından farklı-. O halde kendine egemen olmayan kişi bilen ve gören biri değildir, uyuyan ya da sarhoş biri gibidir. Ve isteyerek davranır (nitekim belli bir şekilde yaptığı şeyi ve ereksel nedeni bilir), ne ki kötü değildir, tercih doğru, dolayısıyla yarı kötü. Adaletsiz de değildir, çünkü düzenbaz değil. Nitekim bunlar içinde kimi düşündüğü şeyde tutarlı kalmız; karasevdalı kişi genelde hiç düşünüp taşınmaz. Kendine egemen olmayan kişi gereken her şeyi kararlaştıran ve erdemli yasaları olan, ama hiçbirinden yararlanmayan bir devlete benzer, Anaksandrides'in dediği gibi bir devlete:

"Devlet düşünüyor, ama yasalara hiç aldırmıyor."

Oysa kötü kişi yasalardan yararlanan ama kötü yasalardan yararlanan bir devlete benzer. O halde kendine egemen olmama ve kendine egemen olma çoğunluğun huyunun aşırılığı ile ilgili. Nitekim biri çoğunluğun olabildiğinden daha çok öteki daha az tutarlı. Kendine egemen olmama biçimleri içinde kara sevdalılarınki, düşünüp taşındıkları halde tutarlı olmayanlarınkinden, alışkanlık nedeniyle kendine egemen olmayanlarınki de doğal olarak böyle olanlarınkinden daha kolay iyileşebilir, çünkü alışkanlık doğal olandan daha kolay değişir. İşte bu nedenle, doğaya benzediği için alışkanlık da güç değişebilir. Euenos'un dediği gibi

"Uzun sürecek bir çaba gerektiğini söylüyorum, dostum; sonra da insanlar için son doğanın bu olduğunu."

İmdi kendine egemen olma, egemen olmama, sağlam karakterlik, zayıflık ne; bu huylar birbirlerine göre ne özellik taşıyor, bunları söylemiş olduk.

XI. Περὶ δὲ ἡδονῆς καὶ λύπης θεωρῆσαι τοῦ τὴν πολιτικὴν 1152ᵇ
φιλοσοφοῦντος· οὗτος γὰρ τοῦ τέλους ἀρχιτέκτων, πρὸς ὃ βλέ- 12
ποντες ἕκαστον τὸ μὲν κακὸν τὸ δ' ἀγαθὸν ἁπλῶς λέγομεν.
2 ἔτι δὲ καὶ τῶν ἀναγκαίων ἐπισκέψασθαι περὶ αὐτῶν· τήν
τε γὰρ ἀρετὴν καὶ τὴν κακίαν τὴν ἠθικὴν περὶ λύπας καὶ 5
ἡδονὰς ἔθεμεν, καὶ τὴν εὐδαιμονίαν οἱ πλεῖστοι μεθ' ἡδονῆς
εἶναί φασιν· διὸ καὶ τὸν μακάριον ὠνομάκασιν ἀπὸ τοῦ χαί-
3 ρειν. τοῖς μὲν οὖν δοκεῖ οὐδεμία ἡδονὴ εἶναι ἀγαθόν, οὔτε
καθ' αὐτὸ οὔτε κατὰ συμβεβηκός· οὐ γὰρ εἶναι ταὐτὸ τὸ ἀγα-
θὸν καὶ ἡδονήν· τοῖς δ' ἔνιαι μὲν εἶναι, αἱ δὲ πολλαὶ 10
φαῦλαι. ἔτι δὲ τούτων τρίτον, εἰ καὶ πᾶσαι ἀγαθόν, ὅμως μὴ
4 ἐνδέχεσθαι εἶναι τὸ ἄριστον ἡδονήν. ὅλως μὲν οὖν οὐκ ἀγα-
θόν, ὅτι πᾶσα ἡδονὴ γένεσίς ἐστιν εἰς φύσιν αἰσθητή, οὐδεμία
δὲ γένεσις συγγενὴς τοῖς τέλεσιν, οἷον οὐδεμία οἰκοδόμησις
οἰκίᾳ. ἔτι ὁ σώφρων φεύγει τὰς ἡδονάς. ἔτι ὁ φρόνιμος τὸ 15
ἄλυπον διώκει, οὐ τὸ ἡδύ. ἔτι ἐμπόδιον τῷ φρονεῖν αἱ ἡδο-
ναί, καὶ ὅσῳ μᾶλλον χαίρει, μᾶλλον, οἷον τῇ τῶν ἀφροδισίων·
οὐδένα γὰρ ἂν δύνασθαι νοῆσαί τι ἐν αὐτῇ. ἔτι τέχνη οὐδε-
μία ἡδονῆς· καίτοι πᾶν ἀγαθὸν τέχνης ἔργον. ἔτι παιδία
5 καὶ θηρία διώκει τὰς ἡδονάς. τοῦ δὲ μὴ πάσας σπουδαίας, 20
ὅτι εἰσὶ καὶ αἰσχραὶ καὶ ὀνειδιζόμεναι, καὶ ὅτι βλαβεραί·
νοσώδη γὰρ ἔνια τῶν ἡδέων. ὅτι δ' οὐ τἄριστον ἡδονή, ὅτι
οὐ τέλος ἀλλὰ γένεσις. τὰ μὲν οὖν λεγόμενα σχεδὸν ταῦτ'
ἐστίν.

XII. Ὅτι δ' οὐ συμβαίνει διὰ ταῦτα μὴ εἶναι ἀγαθὸν μηδὲ 13
τὸ ἄριστον, ἐκ τῶνδε δῆλον. πρῶτον μέν, ἐπεὶ τὸ ἀγαθὸν
διχῶς (τὸ μὲν γὰρ ἁπλῶς τὸ δὲ τινί), καὶ αἱ φύσεις καὶ

1152ᵇ 2. ὃ] ὃ ἂν Kᵇ 9. τὸ add. Kᵇ (utramque scripturam agnoscit Asp.) 13. αἰσθητήν Kᵇ 17. τὴν pr. Lᵇ Γ: ἡ Scaliger 21. καὶ ἔτι Lᵇ 22. οὐ τἄριστον Spengel: οὐκ ἄριστον codd. ἡδονή Kᵇ: ἡ ἡδονή vulg. 23. ταῦτ' ἐστὶ σχεδόν Kᵇ

Haz ve acı konusunda araştırma yapmak da toplum fel- 1152b
sefecisine düşer. Çünkü O, her tek durumu onunla ilgisine bakarak saltık anlamda 'kötü', saltık anlamda 'iyi' diye adlandırdığımız hedefi kuran kişi. Ayrıca bunlar üzerine araştırma yapmak zorunlu, çünkü biz karakter erdeminin ve ka- 5
rakter kötülüğünün hazlarla, acılarla ilgili olduğunu belirlemiştik. Çoğunluk mutluluğun hazla birlikte gittiğini söyler, bunun için kutlu (*makarion*) sözcüğünü hoşlanmak (*khairein*) sözcüğünden türetmişlerdir. Kimine göre ise ister kendi başına ister ilineksel anlamda hiçbir haz bir 'iyi' değil, çünkü haz ile 'iyi' aynı şey değil. Kimine göre ise bazı hazlar 10
iyi, çoğu ise kötü. Bir üçüncü gruba göre, bütün hazlar iyi olsa bile gene de hazzın 'en iyi' olması olası değildir. İmdi haz genel olarak bir 'iyi' değil, çünkü her haz 'doğa'ya yönelik, duyumla ilgili bir oluş. Nasıl bir ev inşaatı bir evle aynı cinsten değilse, hiçbir oluş da amaçla aynı cinsten değildir. 15
Ayrıca ölçülü kişi hazlardan kaçar, aklı başında kişi hoş olanın değil, acı vermeyenin peşindedir. Hazlar aklı başında olmaya bir engel: cinsel hazlarda olduğu gibi, ne denli hoşlanılırsa o denli büyük bir engel; haz içindeyken hiçkimse bir şey düşünemez. Ayrıca hazza ilişkin bir sanat yok, oysa her 'iyi', bir sanatın eseri. Bir de çocuklar ve hayvanlar haz peşinde koşar. Dahası tüm hazlar erdemli değil; çirkin olanlar 20
var, kınananlar var, hatta zararlı olanlar var. Zaten kimi hazlar hastaca. Demek ki hazzın 'en iyi' olmamasının nedeni onun bir amaç, bir son değil, bir oluş, bir süreç olması. İmdi söylenenler bunlar.

Ne ki, hazzın 'iyi' ya da 'en iyi' olmamasının bunlara bağlı olmadığı şuradan açığa çıkabilir: İlkin, madem 'iyi' iki şekilde anlaşılıyor (biri saltık anlamda, biri de herhangi biri için),

αἱ ἕξεις ἀκολουθήσουσιν, ὥστε καὶ αἱ κινήσεις καὶ αἱ γενέσεις, καὶ αἱ φαῦλαι δοκοῦσαι εἶναι αἱ μὲν ἁπλῶς φαῦλαι τινὶ δ' οὐ ἀλλ' αἱρεταὶ τῷδε, ἔνιαι δ' οὐδὲ τῷδε ἀλλὰ ποτὲ καὶ ὀλίγον χρόνον αἱρεταί, ⟨ἁπλῶς⟩ δ' οὔ· αἱ δ' οὐδ' ἡδοναί, ἀλλὰ φαίνονται, ὅσαι μετὰ λύπης καὶ ἰατρείας ἕνεκεν, οἷον αἱ τῶν καμνόντων. ἔτι ἐπεὶ τοῦ ἀγαθοῦ τὸ μὲν ἐνέργεια τὸ δ' ἕξις, κατὰ συμβεβηκὸς αἱ καθιστᾶσαι εἰς τὴν φυσικὴν ἕξιν ἡδεῖαί εἰσιν· ἔστι δ' ἡ ἐνέργεια ἐν ταῖς ἐπιθυμίαις τῆς ὑπολοίπου ἕξεως καὶ φύσεως, ἐπεὶ καὶ ἄνευ λύπης καὶ ἐπιθυμίας εἰσὶν ἡδοναί, οἷον αἱ τοῦ θεωρεῖν [ἐνέργειαι], τῆς φύσεως οὐκ ἐνδεοῦς οὔσης. σημεῖον δ' ὅτι οὐ τῷ αὐτῷ ἡδεῖ χαίρουσιν ἀναπληρουμένης τε τῆς φύσεως καὶ καθεστηκυίας, ἀλλὰ καθεστηκυίας μὲν τοῖς ἁπλῶς ἡδέσιν, ἀναπληρουμένης δὲ καὶ τοῖς ἐναντίοις· καὶ γὰρ ὀξέσι καὶ πικροῖς χαίρουσιν, ὧν οὐδὲν οὔτε φύσει ἡδὺ οὔθ' ἁπλῶς ἡδύ. ὥστ' οὐδ' ἡδοναί· ὡς γὰρ τὰ ἡδέα πρὸς ἄλληλα διέστηκεν, οὕτω καὶ αἱ ἡδοναὶ αἱ ἀπὸ τούτων. ἔτι οὐκ ἀνάγκη ἕτερόν τι εἶναι βέλτιον τῆς ἡδονῆς, ὥσπερ τινές φασι τὸ τέλος τῆς γενέσεως· οὐ γὰρ γενέσεις εἰσὶν οὐδὲ μετὰ γενέσεως πᾶσαι, ἀλλ' ἐνέργειαι καὶ τέλος· οὐδὲ γινομένων συμβαίνουσιν ἀλλὰ χρωμένων· καὶ τέλος οὐ πασῶν ἕτερόν τι, ἀλλὰ τῶν εἰς τὴν τελέωσιν ἀγομένων τῆς φύσεως. διὸ καὶ οὐ καλῶς ἔχει τὸ αἰσθητὴν γένεσιν φάναι εἶναι τὴν ἡδονήν, ἀλλὰ μᾶλλον λεκτέον ἐνέργειαν τῆς κατὰ φύσιν ἕξεως, ἀντὶ δὲ τοῦ αἰσθητὴν ἀνεμπόδιστον. δοκεῖ δὲ γένεσίς τισιν εἶναι, ὅτι κυρίως ἀγαθόν· τὴν γὰρ ἐνέργειαν γένεσιν οἴονται

---

28. αἱ ante ἕξεις om. K^b 29. εἶναι αἱ μὲν om. K^b Γ (et fort. Asp.) 31. ἁπλῶς add. Asp. 35. ἔστι—ἐν] ὅτι αἱ ἐνέργειαι μὲν K^b (ἔστι δ' ἡ ἡδονὴ ἐνέργεια fort. Asp.) ὑπολοίπου K^b Asp.: ἐπιλοίπου L^b: ὑπολύπου M^b: ἐπιλύπου coni. Gifanius 1153ª 1. ἡ τοῦ θεωρεῖν ἐνέργεια K^b ἐνέργειαι om. Asp. 2. χαίρουσιν ἡδεῖ L^b 7. διέστηκεν coni. Bonitz: συνέστηκεν codd. 12. καὶ om. K^b 15. τισιν Rassow (et fort. Asp.): τις codd.

doğalar/yapılar ile huylar da böyle, dolayısıyla devinimler ile oluşlar da. Kötü diye düşünülenler içinde, kimi saltık anlamda kötü görünecek; kimi biri için kötü görünecek, bir başkası için kötü görünmeyecek, hatta beriki tarafından tercih edilebilecektir. Bazıları da herhangi biri için değil, kimi kez ve kısa bir süre için tercih edilebilir olacak, saltık anlamda olmayacaktır. Kimi de haz bile değil, sözgelişi hastaların durumundaki gibi, acıyla birlikte olanlar ya da tedavi amacıyla olanlar böyle. Ayrıca madem 'iyi', bir anlamda etkinlik, bir anlamda da huydur, ilineksel anlamda doğal huy açısından hoş olanlar da var. Madem doğa bir şeye gereksinim duymadığında, sözgelişi teori etkinliğinde, acı ve arzudan bağımsız hazlar da var; etkinlik, kendisinde bir şey eksik olan huy ve arzuların içindedir demektir. Bunun kanıtı da şu: Doğa gelişirken hoş olan ayrı, tamamlandıktan sonra ayrı. Olgunlaştıktan sonra saltık anlamda zevklerden hoşlanılır, oysa gelişme sürecinde bunların tam karşıtlarından bile hoşlanılabilir: Ne doğal olarak ne de saltık anlamda hoş olan, sert ve acı şeylerden de hoşlanılabilir. Dolayısıyla bunlar haz bile değildir. Hoş şeylerin biribirleri arasındaki bağ nasılsa, bunlardan kaynaklanan hazların arasındaki bağ da öyle. Ayrıca kimilerinin, amacın oluştan farklı olmadığını öne sürmeleri gibi, hazdan daha iyi olan başka bir şeyin varolması zorunlu olmayabilir. Haz ne oluştur ne de bütün hazlar oluşla birliktedir; hazlar bazı etkinliklerdir ve bazı amaçlardır. Oluş aracılığıyla değil, nesnelerin kullanımıyla söz konusu olurlar. Amaç da hazlardan farklı bir şey değil, yalnızca doğanın tamamlanmasına götüren hazlardan değişik bir şey. Bunun için hazzı " duygularla algılanan bir oluş" diye tanımlamak yerinde değil, daha çok "doğaya uygun bir ruh etkinliği" diye tanımlamak gerek. "Duyguyla algılanan" yerine de "engellenmemiş" demeli. Kimileri ise onu bir oluş diye düşünür, çünkü asıl anlamda iyinin bir oluş olduğunu ileri sürerler, etkinliğin bir oluş olduğuna inanırlar.

εἶναι, ἔστι δ' ἕτερον. τὸ δ' εἶναι φαύλας ὅτι νοσώδη ἔνια ἡδέα, τὸ αὐτὸ καὶ ὅτι ὑγιεινὰ ἔνια φαῦλα πρὸς χρηματισμόν. ταύτῃ οὖν φαῦλα ἄμφω, ἀλλ' οὐ φαῦλα κατά γε τοῦτο, ἐπεὶ καὶ τὸ θεωρεῖν ποτὲ βλάπτει πρὸς ὑγίειαν. ἐμποδίζει δὲ οὔτε φρονήσει οὔθ' ἕξει οὐδεμιᾷ ἡ ἀφ' ἑκάστης ἡδονή, ἀλλ' αἱ ἀλλότριαι, ἐπεὶ αἱ ἀπὸ τοῦ θεωρεῖν καὶ μανθάνειν μᾶλλον ποιήσουσι θεωρεῖν καὶ μανθάνειν. τὸ δὲ τέχνης μὴ εἶναι ἔργον ἡδονὴν μηδεμίαν εὐλόγως συμβέβηκεν· οὐδὲ γὰρ ἄλλης ἐνεργείας οὐδεμιᾶς τέχνη ἐστίν, ἀλλὰ τῆς δυνάμεως· καίτοι καὶ ἡ μυρεψικὴ τέχνη καὶ ἡ ὀψοποιητικὴ δοκεῖ ἡδονῆς εἶναι. τὸ δὲ τὸν σώφρονα φεύγειν καὶ τὸν φρόνιμον διώκειν τὸν ἄλυπον βίον, καὶ τὸ τὰ παιδία καὶ τὰ θηρία διώκειν, τῷ αὐτῷ λύεται πάντα. ἐπεὶ γὰρ εἴρηται πῶς ἀγαθαὶ ἁπλῶς καὶ πῶς οὐκ ἀγαθαὶ πᾶσαι αἱ ἡδοναί, τὰς τοιαύτας καὶ τὰ θηρία καὶ τὰ παιδία διώκει, καὶ τὴν τούτων ἀλυπίαν ὁ φρόνιμος, τὰς μετ' ἐπιθυμίας καὶ λύπης, καὶ τὰς σωματικάς (τοιαῦται γὰρ αὗται) καὶ τὰς τούτων ὑπερβολάς, καθ' ἃς ὁ ἀκόλαστος ἀκόλαστος. διὸ ὁ σώφρων φεύγει ταύτας, ἐπεὶ εἰσὶν ἡδοναὶ καὶ σώφρονος.

XIII. Ἀλλὰ μὴν ὅτι καὶ ἡ λύπη κακόν, ὁμολογεῖται, καὶ φευκτόν· ἡ μὲν γὰρ ἁπλῶς κακόν, ἡ δὲ τῷ πῇ ἐμποδιστική. τῷ δὲ φευκτῷ τὸ ἐναντίον ᾗ φευκτόν τι καὶ κακόν, ἀγαθόν. ἀνάγκη οὖν τὴν ἡδονὴν ἀγαθόν τι εἶναι. ὡς γὰρ Σπεύσιππος ἔλυεν, οὐ συμβαίνει ἡ λύσις, ὥσπερ τὸ μεῖζον τῷ ἐλάττονι καὶ τῷ ἴσῳ ἐναντίον· οὐ γὰρ ἂν φαίη ὅπερ κακόν τι εἶναι τὴν ἡδονήν. τἄριστόν τ' οὐδὲν κωλύει ἡδονήν

1153b 14

---

29. γὰρ] καὶ K^b Γ 29 et 30. ἀγαθὰ K^b 30. αἱ om. pr. K^b M^b 31. καὶ ante τὰ θηρία add. K^b 32. ὁ om. K^b τὰς ante μετ' om. K^b 34. ἀκόλαστος om. Γ Asp. 1153b 1. καὶ ante ἡ om. K^b M^b 3. τι] τε L^b post κακόν add. ἡ pr. K^b, ἡ corr.^{2} K^b Γ 7. τἄριστον Spengel (et fort. Asp.): ἄριστον codd. τ'] δ' Γ

Oysa etkinlik oluştan farklı bir şey. Kimi hoş şeylerin hastalıklı olduğundan ötürü kötü olduğunu ileri sürmek, bazı sağlıklı şeylerin pahalı olduğundan ötürü kötü olduğunu ileri sürmekle aynı şey. Bu anlamda herikisi de kötü, ama aynı şey açısından kötü değil, çünkü kimi kez araştırma yapmak da sağlığa zarar verebilir. Aklı başındalığa da, bir huya da engel olan şey, herbirinden kaynaklanan haz değildir, başka şeylerdir, çünkü araştırmaktan, öğrenmekten kaynaklanan haz daha çok araştırmaya, daha çok öğrenmeye götürür. Hiçbir hazzın bir sanatın eseri olmaması da akla uygun, çünkü sanat başka hiçbir etkinliğe de özgü değildir, sanat olanağa özgü bir şey -hoş koku sanatı, yemek yapma sanatı hazza özgü görünse de bu böyle-. Ölçülü kişinin hazdan kaçması, aklı başında kişinin acıdan bağımsız bir yaşamı izlemesi, çocukların ve hayvanların haz peşinde koşması, bunların hepsi aynı temellendirme ile çözümlenir. Çünkü madem kimi hazlar bir biçimde saltık anlamda iyi, bir biçimde de hazların hepsi iyi değil, dedik; çocuklar ve hayvanlar bunların peşinden koşacak, aklı başında kişi bunların içinde acı getirmeyeni izleyecektir. Arzuyla ve acıyla birlikte gidenleri, yani bedensel olanları (böyle olanlar bedensel olanlar) ve bunların aşırılıklarını izleyecek olan kişi ise, onlara düşkün olan haz düşkünü kişi olacaktır. Bunun için ölçülü kişi bunlardan kaçar, ama ölçülü kişiye yakışan hazlar da var.

Ne ki acının hem kötü hem de kaçınılması gerekli bir şey olduğu görüşünde birleşilir. O ya mutlak anlamda bir kötüdür ya da belli bir şekilde bizi engellediği için kötüdür. Kaçınılması gereken ve kötü bir şey olduğu için, kaçınılması gereken bu şeye karşıt olan şey iyidir: Demek ki hazzın bir iyi olması zorunlu. Speusippos'un daha büyüğün hem daha küçüğe hem de eşite karşıt olduğu yollu çözümü doyurucu değil. Nitekim O, hazzın kötü bir şey olduğunu ileri sürememekte. Kimi hazlar kötü ise, bazı bilgilerin kötü

τινα εἶναι, εἰ ἔνιαι φαῦλαι ἡδοναί, ὥσπερ καὶ ἐπιστήμην τινὰ ἐνίων φαύλων οὐσῶν. ἴσως δὲ καὶ ἀναγκαῖον, εἴπερ ἑκάστης ἕξεώς εἰσιν ἐνέργειαι ἀνεμπόδιστοι, εἴθ' ἡ πασῶν ἐνέργειά ἐστιν εὐδαιμονία εἴτε ἡ τινὸς αὐτῶν, ἂν ᾖ ἀνεμπόδιστος, αἱρετωτάτην εἶναι· τοῦτο δ' ἐστὶν ἡδονή. ὥστε εἴη ἄν τις ἡδονὴ τὸ ἄριστον, τῶν πολλῶν ἡδονῶν φαύλων οὐσῶν, εἰ ἔτυχεν, ἁπλῶς. καὶ διὰ τοῦτο πάντες τὸν εὐδαίμονα ἡδὺν οἴονται βίον εἶναι, καὶ ἐμπλέκουσι τὴν ἡδονὴν εἰς τὴν εὐδαιμονίαν, εὐλόγως· οὐδεμία γὰρ ἐνέργεια τέλειος ἐμποδιζομένη, ἡ δ' εὐδαιμονία τῶν τελείων· διὸ προσδεῖται ὁ εὐδαίμων τῶν ἐν σώματι ἀγαθῶν καὶ τῶν ἐκτὸς καὶ τῆς τύχης, ὅπως μὴ ἐμποδίζηται ταῦτα. οἱ δὲ τὸν τροχιζόμενον καὶ τὸν δυστυχίαις μεγάλαις περιπίπτοντα εὐδαίμονα φάσκοντες εἶναι, ἐὰν ᾖ ἀγαθός, ἢ ἑκόντες ἢ ἄκοντες οὐδὲν λέγουσιν. διὰ δὲ τὸ προσδεῖσθαι τῆς τύχης δοκεῖ τισὶ ταὐτὸν εἶναι ἡ εὐτυχία τῇ εὐδαιμονίᾳ, οὐκ οὖσα, ἐπεὶ καὶ αὐτὴ ὑπερβάλλουσα ἐμπόδιός ἐστιν, καὶ ἴσως οὐκέτι εὐτυχίαν καλεῖν δίκαιον· πρὸς γὰρ τὴν εὐδαιμονίαν ὁ ὅρος αὐτῆς. καὶ τὸ διώκειν δ' ἅπαντα καὶ θηρία καὶ ἀνθρώπους τὴν ἡδονὴν σημεῖόν τι τοῦ εἶναί πως τὸ ἄριστον αὐτήν·

3 4 5

> φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥν τινα λαοί
> πολλοί . . .

ἀλλ' ἐπεὶ οὐχ ἡ αὐτὴ οὔτε φύσις οὔθ' ἕξις ἡ ἀρίστη οὔτ' ἔστιν οὔτε δοκεῖ, οὐδ' ἡδονὴν διώκουσι τὴν αὐτὴν πάντες, ἡδονὴν μέντοι πάντες. ἴσως δὲ καὶ διώκουσιν οὐχ ἣν οἴονται οὐδ' ἣν ἂν φαῖεν, ἀλλὰ τὴν αὐτήν· πάντα γὰρ φύσει ἔχει τι θεῖον. ἀλλ' εἰλήφασι τὴν τοῦ ὀνόματος κληρονομίαν αἱ σωματικαὶ ἡδοναὶ διὰ τὸ πλειστάκις τε παραβάλλειν εἰς αὐτὰς καὶ πάντας μετέχειν αὐτῶν· διὰ τὸ μόνας οὖν γνωρίμους εἶναι

6

---

24. οὐκ ἔστιν M^b Γ 27. οὔτις K^b Asp. : οὔτι γε vulg. λαοί Γ : οἱ K^b: om. vulg. 28. πολλοὶ ⟨φημίζουσι⟩ Γ Heliodorus 32. τι] τὸ K^b

olmasına karşın herhangi birinin en iyi olması gibi, herhangi bir hazzın 'en iyi' olmasına hiçbir engel yok. Her huyun engellenmeyen etkinlikleri varsa, gerek her huyun gerekse onlardan birinin etkinliği, engel olmamak koşuluyla, mutluluk olabiliyorsa, bunun en çok tercih edilecek şey olması zorunlu. İşte bu haz. Dolayısıyla çoğu hazlar kötü olsa bile, herhangi bir haz, denk gelirse, saltık anlamda 'en iyi' olabilir. Bunun için herkes mutlu yaşamın hoş olduğunu düşünüyor ve hazzın mutluluğa bağlanması de yerinde. Nitekim engellenmiş hiçbir etkinlik tam değildir, oysa mutluluk tam/mükemmel şeylerden. Bunun için mutlu kişi bunlarda engellenmemek amacıyla, bedendeki iyilere, dışa ait ve talihe ait iyilere gereksinim duyar. Kişi iyi olduğu sürece, o tekerlek altına girse bile, en büyük talihsizliklere düşse bile mutludur, diyenler ya isteyerek ya da istemeden anlamsız bir şey söylüyor. Sonra, mutluluk talihe gereksinim duyduğu için kimine göre talih açıklığı ile mutluluk aynı şey; oysa bu doğru değil, çünkü talih açıklığı da aşırı ise engelleyici olduğundan ötürü, herhalde mutluluğu talih açıklığı diye adlandırmak haksızlık. Onun tanımı mutluluğa bağlı olmalı. Tüm hayvanların, tüm insanların haz peşinde koşmaları, onun belli bir şekilde en iyi olduğunun bir kanıtı.

"Boşuna değil bu ün, ki onu
pek çok kişi..."[68]

Ne ki, madem ne en iyi doğa ne de en iyi huy aynı, öyle de düşünülmüyor, herkes bir haz peşinde koşar ama herkes aynı hazzı aramaz. Belki de haz olduğunu bile düşünmeden, ya da bu adı vermeden onun peşinde koşuyorlar. Nitekim herşey doğal olarak tanınsal bir şey taşır. Fakat daha çok onlara atılındığı ve herkes onlardan pay aldığı için, haz adının mülkiyetine bedensel hazlar sahip çıkmıştır. İmdi yalnızca bunlar tanınmış olduğundan

7 ταύτας μόνας οἴονται εἶναι. φανερὸν δὲ καὶ ὅτι, εἰ μὴ ἡδονὴ 1154ᵃ
ἀγαθὸν καὶ ἡ ἐνέργεια, οὐκ ἔσται ζῆν ἡδέως τὸν εὐδαίμονα· τίνος γὰρ ἕνεκα δέοι ἂν αὐτῆς, εἴπερ μὴ ἀγαθόν, ἀλλὰ καὶ λυπηρῶς ἐνδέχεται ζῆν; οὔτε κακὸν γὰρ οὔτ' ἀγαθὸν ἡ λύπη, εἴπερ μηδ' ἡδονή· ὥστε διὰ τί ἂν φεύγοι; οὐδὲ 5
δὴ ἡδίων ὁ βίος ὁ τοῦ σπουδαίου, εἰ μὴ καὶ αἱ ἐνέργειαι αὐτοῦ.

XIV. Περὶ δὲ δὴ τῶν σωματικῶν ἡδονῶν ἐπισκεπτέον τοῖς λέγουσιν ὅτι ἔνιαί γε ἡδοναὶ αἱρεταὶ σφόδρα, οἷον αἱ καλαί,
2 ἀλλ' οὐχ αἱ σωματικαὶ καὶ περὶ ἃς ὁ ἀκόλαστος. διὰ τί οὖν 10
αἱ ἐναντίαι λῦπαι μοχθηραί; κακῷ γὰρ ἀγαθὸν ἐναντίον. ἢ οὕτως ἀγαθαὶ αἱ ἀναγκαῖαι, ὅτι καὶ τὸ μὴ κακὸν ἀγαθόν ἐστιν; ἢ μέχρι του ἀγαθαί; τῶν μὲν γὰρ ἕξεων καὶ κινήσεων ὅσων μὴ ἔστι τοῦ βελτίονος ὑπερβολή, οὐδὲ τῆς ἡδονῆς· ὅσων δ' ἔστι, καὶ τῆς ἡδονῆς. ἔστιν δὲ τῶν σωματικῶν ἀγαθῶν 15
ὑπερβολή, καὶ ὁ φαῦλος τῷ διώκειν τὴν ὑπερβολήν ἐστιν, ἀλλ' οὐ τὰς ἀναγκαίας· πάντες γὰρ χαίρουσί πως καὶ ὄψοις καὶ οἴνοις καὶ ἀφροδισίοις, ἀλλ' οὐχ ὡς δεῖ. ἐναντίως δ' ἐπὶ τῆς λύπης· οὐ γὰρ τὴν ὑπερβολὴν φεύγει, ἀλλ' ὅλως· οὐ γάρ ἐστι τῇ ὑπερβολῇ λύπη ἐναντία ἀλλ' ἢ τῷ διώκοντι 20
τὴν ὑπερβολήν.

3 Ἐπεὶ δ' οὐ μόνον δεῖ τἀληθὲς εἰπεῖν ἀλλὰ καὶ τὸ αἴτιον τοῦ ψεύδους· τοῦτο γὰρ συμβάλλεται πρὸς τὴν πίστιν· ὅταν γὰρ εὔλογον φανῇ τὸ διὰ τί φαίνεται ἀληθὲς οὐκ ὂν ἀληθές, πιστεύειν ποιεῖ τῷ ἀληθεῖ μᾶλλον· ὥστε λεκτέον 25
4 διὰ τί φαίνονται αἱ σωματικαὶ ἡδοναὶ αἱρετώτεραι. πρῶτον μὲν οὖν δὴ ὅτι ἐκκρούει τὴν λύπην· καὶ διὰ τὰς ὑπερβολὰς

1154ᵃ 1. *μὴ ἡ ἡδονὴ* M^b Asp. 2. *ἡ* om. M^b 4. *οὔτ' ἀγαθὸν γὰρ οὔτε κακὸν* K^b 10. *ἀλλ'* om. K^b 14. *ὅσων δ'*] *τούτων δ'* K^b 15. *δὲ τῶν* K^b: *τῶν δὲ* vulg. *ἀγαθῶν* K^b: *ἀγαθῶν ἐστὶν* vulg. 27. *οὖν* om. $L^b M^b \Gamma$

yalnızca bunların varolduğu sanılıyor, oysa şu açık: Haz, bir 1154a
'iyi' ve 'etkinlik' olmasa, mutlu kişi hoş bir yaşam süremez. Haz, bir iyi olmasa, mutlu kişinin acı içinde yaşaması olası olsa, o, hazza ne için gereksinim duysun? Haz iyi ya da kötü bir şey değilse, acı da iyi ya da kötü bir şey olmaz, dolayısıyla ne için acıdan kaçılsın? Onun etkinlikleri de olmasa, er- 5
demli birinin yaşamı da hoş olmaz.

Bedensel hazlar konusunda, bazı hazların, sözgelişi güzel olanların, son derece tercih edilebilir olduğunu ama haz düşkününün ilgilendiği hazların ve bedensel hazların böyle olmadığını söyleyenlerin dediklerini incelemek gerekiyor: 10
İmdi bu hazlara karşıt olan acılar niçin kötü olsun? Kötüye karşıt olan şey 'iyi'dir. Yoksa kötü olmayan şey iyi olduğu için, zorunlu olan hazlar iyi mi? Ya da belli bir noktaya kadar mı iyi? Daha iyinin bir aşırılığı yoksa huylarda ve devinimlerde hazzın da bir aşırılığı olmaz, oysa daha iyinin aşırılığı olabilen şeylerde haz aşırılığı da olur. Bedensel iyilerin 15
bir aşırılığı olabilir ve kötü kişi zorunlu hazları değil, aşırılığı izlediği için böyledir. Nitekim herkes belli bir şekilde yiyecekten, içkiden, cinsel hazlardan hoşlanıyor ama herkesinki gerektiği gibi değil. Oysa acı konusunda tam tersi: Acının aşırılığından kaçılmaz, acıdan hepten kaçılır. Acı, onun aşı- 20
rılığı peşinde koşan kişi dışta kalmak üzere, haz aşırılığına karşıttır.

Ne ki, yalnızca doğru söylemek değil, yanlışın nedenini de göstermek gerekiyor, ikna için geçerli olan bu: Doğru olmayan şeyin niçin doğruymuş gibi göründüğü akla uygun biçimde ortaya çıkınca bu, doğru olana daha çok inanmayı sağlıyor. Dolayısıyla bedensel hazlar niçin daha 25
tercih edilebilir görünüyor, bunu söylemek gerek. İmdi bunun ilk nedeni, bunların acıyı yok etmesi. İnsanlar acının

τῆς λύπης, ὡς οὔσης ἰατρείας, τὴν ἡδονὴν διώκουσι τὴν ὑπερβάλλουσαν καὶ ὅλως τὴν σωματικήν. σφοδραὶ δὲ γίνονται
30 αἱ ἰατρεῖαι, διὸ καὶ διώκονται, διὰ τὸ παρὰ τὸ ἐναντίον φαίνεσθαι. καὶ οὐ σπουδαῖον δὴ δοκεῖ ἡ ἡδονὴ διὰ δύο ταῦτα, ὥσπερ εἴρηται, ὅτι αἱ μὲν φαύλης φύσεώς εἰσι πράξεις (ἢ ἐκ γενετῆς, ὥσπερ θηρίου, ἢ δι' ἔθος, οἷον αἱ τῶν φαύλων ἀνθρώπων), αἱ δ' ἰατρεῖαι [ὅτι] ἐνδεοῦς, καὶ ἔχειν βέλτιον ἢ
1154 b γίνεσθαι· αἱ δὲ συμβαίνουσι τελεουμένων· κατὰ συμβεβηκὸς οὖν σπουδαῖαι. ἔτι διώκονται διὰ τὸ σφοδραὶ εἶναι ὑπὸ 5
τῶν ἄλλαις μὴ δυναμένων χαίρειν· αὐτοὶ γοῦν αὑτοῖς δίψας τινὰς παρασκευάζουσιν. ὅταν μὲν οὖν ἀβλαβεῖς, ἀνεπιτίμητον,
5 ὅταν δὲ βλαβεράς, φαῦλον. οὔτε γὰρ ἔχουσιν ἕτερα ἐφ' οἷς χαίρουσιν, τό τε μηδέτερον πολλοῖς λυπηρὸν διὰ τὴν φύσιν. ἀεὶ γὰρ πονεῖ τὸ ζῷον, ὥσπερ καὶ οἱ φυσιολόγοι μαρτυροῦσι, τὸ ὁρᾶν, τὸ ἀκούειν φάσκοντες εἶναι λυπηρόν· ἀλλ' ἤδη συνήθεις ἐσμέν, ὡς φασίν. ὁμοίως δ' ἐν μὲν τῇ 6
10 νεότητι διὰ τὴν αὔξησιν ὥσπερ οἱ οἰνωμένοι διάκεινται, καὶ ἡδὺ ἡ νεότης. οἱ δὲ μελαγχολικοὶ τὴν φύσιν δέονται ἀεὶ ἰατρείας· καὶ γὰρ τὸ σῶμα δακνόμενον διατελεῖ διὰ τὴν κρᾶσιν, καὶ ἀεὶ ἐν ὀρέξει σφοδρᾷ εἰσίν· ἐξελαύνει δὲ ἡδονὴ λύπην ἥ τ' ἐναντία καὶ ἡ τυχοῦσα, ἐὰν ᾖ ἰσχυρά· καὶ διὰ
15 ταῦτα ἀκόλαστοι καὶ φαῦλοι γίνονται. αἱ δ' ἄνευ λυπῶν 7
οὐκ ἔχουσιν ὑπερβολήν· αὗται δὲ τῶν φύσει ἡδέων καὶ μὴ κατὰ συμβεβηκός. λέγω δὲ κατὰ συμβεβηκὸς ἡδέα τὰ ἰατρεύοντα· ὅτι γὰρ συμβαίνει ἰατρεύεσθαι τοῦ ὑπομένοντος ὑγιοῦς πράττοντός τι, διὰ τοῦτο ἡδὺ δοκεῖ εἶναι·

---

29. σφόδρα K^b 30. *al* om. $K^b L^b$ 32. ἡ om. K^b 34. αἱ scripsi: *al* codd. ὅτι om. Asp. 1154 b 1. δὲ] fort. δὴ 5. ἑτέραν K^b: ἑτέρας Γ 7. φυσιολόγοι Asp.: φυσικοὶ K^b: φυσικοὶ λόγοι vulg. 8. post ὁρᾶν add. καὶ M^b 9. δ'] δὲ καὶ Γ μὲν om. K^b 16. δὲ K^b: δὲ *al* vulg. 19. τι om. K^b τοῦτο] τοῦτο δὲ K^b

aşırılıkları yüzünden, sanki bir tedavi aracı gibi, aşırı hazların, genellikle de bedensel hazların peşinden koşuyor. Kimi zaman "tedavi" fazla oluyor, bunun için karşıt olanın dışında görünmeleri yüzünden onların peşinde koşuluyor. Dediğimiz gibi, şu iki nedenden haz erdemli bir şey değildir, diye düşünülüyor: Bazıları kötü bir huyun eylemleridir (ya hayvanlarınki gibi doğuştan ya da kötü insanlarınki gibi karakterden ötürü); bazıları tedavi aracıdır, bir yokluğu giderir, oysa sahip olmak o hale gelmekten daha iyi. Kimi hazlar ise tamamlanma aracı olarak sözkonusu, dolayısıyla yalnızca ilineksel anlamda erdemlidirler. Ayrıca güçlü olmaları yüzünden, başkalarından hoşlanamayanlar tarafından arananlar var, yani bunlar bazı açlıkları gideriyor. Zararsız olduklarında bu kınanacak bir şey değil, zararlı oldukları zaman ise kötü bir şey. Böyle kişilerin hoşlanacakları başka bir şey yoktur, doğa gereği, ikisinden hiçbirine sahip olmamak da çoğu kimse için acı getiren bir şey. Nitekim "görmek, işitmek bile acı verici" diyen doğabilimcilerin tanıklık ettiği gibi, canlı varlık hep sıkıntı içindedir; ne ki, dediklerine göre çoktan alıştık buna. Aynı şekilde, gençlikte, gelişmeleri nedeniyle, insanlar sarhoşlarla aynı durumda, gençlik de hoş bir şey. Karasevdalılar ise doğal olarak her zaman tedavi aracına gereksinim duyar, çünkü onların bedeni, durumlarından ötürü, sürekli olarak bilenir, hep fazla iştah içindedirler. Haz güçlü ise hem ona karşıt olan şeyi hem de herhangi bir acıyı kovar, bundan ötürü insanlar haz düşkünü ve kötü oluyor. Oysa acıdan bağımsız hazlarda aşırılık olmaz; bunlar ilineksel anlamda değil, doğal olarak hoş olan şeylere özgü. "İlineksel anlamda" derken tedavi araçlarını kastediyorum, bedenin sağlam kalan parçası bir şey yapınca iyileşme oluyor, bu yüzden tedavi aracı hoş gibi görünüyor.

8 φύσει δ' ἡδέα, ἃ ποιεῖ πρᾶξιν τῆς τοιᾶσδε φύσεως. οὐκ ἀεὶ δ' οὐθὲν ἡδὺ τὸ αὐτὸ διὰ τὸ μὴ ἁπλῆν ἡμῶν εἶναι τὴν φύσιν, ἀλλ' ἐνεῖναί τι καὶ ἕτερον, καθὸ φθαρτοί, ὥστε ἄν τι θάτερον πράττῃ, τοῦτο τῇ ἑτέρᾳ φύσει παρὰ φύσιν, ὅταν δ' ἰσάζῃ, οὔτε λυπηρὸν δοκεῖ οὔθ' ἡδὺ τὸ πραττόμενον· ἐπεὶ εἴ του ἡ φύσις ἁπλῆ εἴη, ἀεὶ ἡ αὐτὴ πρᾶξις ἡδίστη ἔσται. διὸ ὁ θεὸς ἀεὶ μίαν καὶ ἁπλῆν χαίρει ἡδονήν· οὐ γὰρ μόνον κινήσεώς ἐστιν ἐνέργεια ἀλλὰ καὶ ἀκινησίας, καὶ ἡδονὴ μᾶλλον ἐν ἠρεμίᾳ ἐστὶν ἢ ἐν κινήσει. μεταβολὴ δὲ πάντων γλυκύ, κατὰ τὸν ποιητήν, διὰ πονηρίαν τινά· ὥσπερ γὰρ ἄνθρωπος εὐμετάβολος ὁ πονηρός, καὶ ἡ φύσις ἡ δεομένη μεταβολῆς· οὐ γὰρ ἁπλῆ οὐδ' ἐπιεικής.

9 Περὶ μὲν οὖν ἐγκρατείας καὶ ἀκρασίας καὶ περὶ ἡδονῆς καὶ λύπης εἴρηται, καὶ τί ἕκαστον καὶ πῶς τὰ μὲν ἀγαθὰ αὐτῶν ἐστὶ τὰ δὲ κακά· λοιπὸν δὲ καὶ περὶ φιλίας ἐροῦμεν.

Θ.

1155 ᵃ Μετὰ δὲ ταῦτα περὶ φιλίας ἕποιτ' ἂν διελθεῖν· ἔστι γὰρ ἀρετή τις ἢ μετ' ἀρετῆς, ἔτι δ' ἀναγκαιότατον εἰς τὸν βίον. ἄνευ γὰρ φίλων οὐδεὶς ἕλοιτ' ἂν ζῆν, ἔχων τὰ λοιπὰ ἀγαθὰ πάντα· καὶ γὰρ πλουτοῦσι καὶ ἀρχὰς καὶ δυναστείας κεκτημένοις δοκεῖ φίλων μάλιστ' εἶναι χρεία· τί γὰρ ὄφελος τῆς τοιαύτης εὐετηρίας ἀφαιρεθείσης εὐεργεσίας, ἢ γίγνεται μάλιστα καὶ ἐπαινετωτάτη πρὸς φίλους; ἢ πῶς ἂν τηρηθείη καὶ σῴζοιτ' ἄνευ φίλων; ὅσῳ γὰρ πλείων, τοσούτῳ ἐπισφα-
2 λεστέρα. ἐν πενίᾳ τε καὶ ταῖς λοιπαῖς δυστυχίαις μόνην οἴονται καταφυγὴν εἶναι τοὺς φίλους. καὶ νέοις δὲ πρὸς τὸ

---

21. δ' om. K^b 22. φθαρτοί Asp.: φθαρτά codd. 29. γλυκύ Asp.: γλυκύτατον $K^b L^b$ Γ 34. καὶ om. K^b Γ 1155ᵃ 6. καὶ δυναστείας om. K^b 11. τε] δὲ Γ 12. δὲ] δεῖ $I.^b$

Oysa doğa gereği hoş şeyler, bizde buna karşılık gelen doğanın eylemini sağlayan şeylerdir. Ayrıca ne olursa olsun, hoş şey aynı değildir, çünkü bizim doğamız yalın değil, tersine her zaman onda, ona göre bozulmanın söz konusu olduğu, değişik bir şey var. Dolayısıyla bunlardan biri bir şey yapsa, bu ötekinin doğasına aykırı bir şey oluyor, eşit olduklarında yapılan şey ne acı verici, ne de hoş görünüyor. Kişinin doğası yalın olsa hep aynı eylem en hoş şey olabilirdi. Bunun için tanrı, hep yalın ve tek hazdan hoşlanır, çünkü yalnızca devinimin değil, devinimsizliğin de bir etkinliği vardır, haz da devinimden çok dinginlikte bulunur. Ozana göre de[69] her değişiklik tatlıdır ama bu bizim doğamızın bir kötülüğü yüzünden, çünkü nasıl çabuk değişen insan kötü bir insan ise, değişikliğe gerek duyan doğa da kötüdür, nitekim o ne yalındır ne de doğru.

İmdi kendine egemen olma, kendine egemen olmama; haz, acı, bunlardan sözettik: nedir, bunların kimi nasıl iyi oluyor, kimi de nasıl kötü oluyor, bunları belirledik. Şimdi de dostluktan sözedelim.

SEKİZİNCİ KİTAP

1155a

Bundan sonra dostluktan sözedebiliriz, çünkü o ya bir erdem ya da erdemle birlikte giden bir şey. Ayrıca yaşam için son derece zorunlu. Bütün öteki iyilere sahip olsa bile hiçkimse dostlardan uzak bir yaşamı tercih etmese gerek. Zenginler için, iktidarı, gücü ellerinde bulunduranlar için dostlar çok gerekli görünüyor. Dostlarla ilgili olarak en övülecek şey olan yardımlaşma çekilip alındığında bu tür iyi durumda olmanın ne yararı olabilir? Dostlar olmadan bu durum nasıl elde tutulup korunabilir? Çünkü ne denli çoksa o denli güvencesiz. Gerek yoksullukta gerekse başka talihsiz durumlarda tek sığınağın dostlar olduğuna inanılıyor.

ἀναμάρτητον καὶ πρεσβυτέροις πρὸς θεραπείαν καὶ τὸ ἐλλεῖπον τῆς πράξεως δι' ἀσθένειαν βοηθείας, τοῖς τ' ἐν ἀκμῇ πρὸς τὰς καλὰς πράξεις· "σύν τε δύ' ἐρχομένω·" καὶ γὰρ νοῆσαι καὶ πρᾶξαι δυνατώτεροι. φύσει τ' ἐννπάρχειν ἔοικε 3 πρὸς τὸ γεγεννημένον τῷ γεννήσαντι καὶ πρὸς τὸ γεννῆσαν τῷ γεννηθέντι, οὐ μόνον ἐν ἀνθρώποις ἀλλὰ καὶ ἐν ὄρνισι καὶ τοῖς πλείστοις τῶν ζῴων, καὶ τοῖς ὁμοεθνέσι πρὸς ἄλληλα, καὶ μάλιστα τοῖς ἀνθρώποις, ὅθεν τοὺς φιλανθρώπους ἐπαινοῦμεν. ἴδοι δ' ἄν τις καὶ ἐν ταῖς πλάναις ὡς οἰκεῖον ἅπας ἄνθρωπος ἀνθρώπῳ καὶ φίλον. ἔοικε δὲ καὶ τὰς πό- 4 λεις συνέχειν ἡ φιλία, καὶ οἱ νομοθέται μᾶλλον περὶ αὐτὴν σπουδάζειν ἢ τὴν δικαιοσύνην· ἡ γὰρ ὁμόνοια ὁμοιόν τι τῇ φιλίᾳ ἔοικεν εἶναι, ταύτης δὲ μάλιστ' ἐφίενται καὶ τὴν στάσιν ἔχθραν οὖσαν μάλιστα ἐξελαύνουσιν· καὶ φίλων μὲν ὄντων οὐδὲν δεῖ δικαιοσύνης, δίκαιοι δ' ὄντες προσδέονται φιλίας, καὶ τῶν δικαίων τὸ μάλιστα φιλικὸν εἶναι δοκεῖ. οὐ μόνον δ' ἀναγκαῖόν ἐστιν ἀλλὰ καὶ καλόν· τοὺς γὰρ φιλοφίλους ἐπαινοῦμεν, ἥ τε πολυφιλία δοκεῖ τῶν καλῶν ἔν τι εἶναι· καὶ ἔτι τοὺς αὐτοὺς οἴονται ἄνδρας ἀγαθοὺς εἶναι καὶ φίλους.

2 Διαμφισβητεῖται δὲ περὶ αὐτῆς οὐκ ὀλίγα. οἳ μὲν γὰρ 6 ὁμοιότητά τινα τιθέασιν αὐτὴν καὶ τοὺς ὁμοίους φίλους, ὅθεν τὸν ὅμοιόν φασιν ὡς τὸν ὅμοιον, καὶ κολοιὸν ποτὶ κολοιόν, καὶ τὰ τοιαῦτα· οἳ δ' ἐξ ἐναντίας κεραμεῖς πάντα· 1155b τοὺς τοιούτους ἀλλήλοις φασὶν εἶναι. καὶ περὶ αὐτῶν τούτων ἀνώτερον ἐπιζητοῦσι καὶ φυσικώτερον, Εὐριπίδης μὲν φάσκων ἐρᾶν μὲν ὄμβρου γαῖαν ξηρανθεῖσαν, ἐρᾶν δὲ σεμνὸν οὐρανὸν

---

14. βοήθεια M^b: βοηθεῖ cod. Par. 1417 (et fort. Asp.) 17. πρὸς—καὶ om. K^b Γ πρὸς τὸ γεννῆσαν τῷ γεννηθέντι om. L^b M^b 22. πᾶς K^b 29. φίλους K^b M^b 30. φιλοφιλία Γ 31. καὶ ἔτι K^b L^b: καὶ ἔνιοι M^b Γ: ἔτι καὶ ἔνιοι Aldina (καὶ fort. post οἴονται ponendum) 35. τὰ K^b L^b: ὅσα M^b Γ 1155b 2. καὶ om. K^b

Dostluk gençlere yanılgıya düştüklerinde, yaşlılara bakım için ve güçsüzlük yüzünden ortaya çıkan eylem eksikliğine yardım için; yetişkinlere ise güzel eylemler için gerekli, çünkü "iki kişi birlikte olunca"[70] hem daha iyi düşünebilir hem de daha iyi eyleyebilir. Ayrıca öyle görünüyor ki dostluk, doğuran için doğana karşı, doğan için de doğurana karşı doğal olarak var. Bu yalnız insanlarda değil, kuşlarda, hayvanların çoğunda da böyle. Aynı türden olanlarda biribirlerine karşı, ama en çok insanlar arasında; bundan ötürü kimi "insansever" kişileri övüyoruz. Yolculuklarda her insanın bir başkasına nasıl yakın ve dost olduğu görülebilir. Dostluğun devletleri de ayakta tuttuğu, yasa koyucuların adaletten çok onun üzerinde durdukları görünüyor: Nitekim fikir birliği dostluğa benzeyen bir şey; özellikle bunu gözetiyorlar, düşmanı olan anlaşmazlığı da olabildiğince uzak tutmaya çalışıyorlar. Dostlar olduktan sonra adalete bile gerek yok, ama adil olanlar dostluğa gereksinim duyarlar: Dostluğa yatkın olma özellikle adil kişilere özgü görünüyor. Yalnızca zorunlu değil, güzel bir şey de. Dostluğu sevenleri övüyoruz, dost bolluğunun güzel bir şey olduğu düşünülüyor. Ayrıca iyi insanların ve dostların aynı kişiler olduğuna inanıyoruz.

Ne ki, dostluk konusundaki tartışmalar da pek az değil. Kimi onu bir benzerlik olarak alıyor, benzer kişileri dost sayıyor, bundan ötürü de "benzer benzerine, kuzgun kuzguna" vb. diyor. Kimi, benzer olan herkesin birbirine karşıt 'seramik' gibi olduğunu ileri sürüyor. Aynı konuya uzaktan, fiziksel bakışlar da var: Kurak toprağın yağmuru, yağmur dolu kutsal gökyüzünün toprağa dökülmeyi sevdiğini söyleyen Euripides;[71]

πληρούμενον ὄμβρου πεσεῖν ἐς γαῖαν, καὶ Ἡράκλειτος τὸ ἀντίξουν συμφέρον καὶ ἐκ τῶν διαφερόντων καλλίστην ἁρ- 5
μονίαν καὶ πάντα κατ' ἔριν γίνεσθαι· ἐξ ἐναντίας δὲ τούτοις ἄλλοι τε καὶ Ἐμπεδοκλῆς· τὸ γὰρ ὅμοιον τοῦ ὁμοίου ἐφίε-
7 σθαι. τὰ μὲν οὖν φυσικὰ τῶν ἀπορημάτων ἀφείσθω (οὐ γὰρ οἰκεῖα τῆς παρούσης σκέψεως)· ὅσα δ' ἐστὶν ἀνθρωπικὰ καὶ ἀνήκει εἰς τὰ ἤθη καὶ τὰ πάθη, ταῦτ' ἐπισκεψώμεθα, οἷον πότερον ἐν πᾶσι γίνεται φιλία ἢ οὐχ οἷόν τε μοχθηροὺς ὄντας φίλους εἶναι, καὶ πότερον ἓν εἶδος τῆς φιλίας ἐστὶν ἢ πλείω. οἱ μὲν γὰρ ἓν οἰόμενοι, ὅτι ἐπιδέχεται τὸ μᾶλλον καὶ [τὸ] ἧττον, οὐχ ἱκανῷ πεπιστεύκασι σημείῳ· δέχεται γὰρ τὸ μᾶλλον καὶ [τὸ] ἧττον καὶ τὰ ἕτερα τῷ εἶδει. εἴρηται δ' 15
ὑπὲρ αὐτῶν ἔμπροσθεν.

II. Τάχα δ' ἂν γένοιτο περὶ αὐτῶν φανερὸν γνωρισθέντος τοῦ φιλητοῦ. δοκεῖ γὰρ οὐ πᾶν φιλεῖσθαι ἀλλὰ τὸ φιλητόν, τοῦτο δ' εἶναι ἀγαθὸν ἢ ἡδὺ ἢ χρήσιμον· δόξειε δ' ἂν χρήσιμον εἶναι δι' οὗ γίνεται ἀγαθόν τι ἢ ἡδονή, ὥστε φιλητὰ 20
2 ἂν εἴη τἀγαθόν τε καὶ τὸ ἡδὺ ὡς τέλη. πότερον οὖν τἀγαθὸν φιλοῦσιν ἢ τὸ αὑτοῖς ἀγαθόν; διαφωνεῖ γὰρ ἐνίοτε ταῦτα. ὁμοίως δὲ καὶ περὶ τὸ ἡδύ. δοκεῖ δὲ τὸ αὑτῷ ἀγαθὸν φι-
λεῖν ἕκαστος, καὶ εἶναι ἁπλῶς μὲν τἀγαθὸν φιλητόν, ἑκάστῳ δὲ τὸ ἑκάστῳ· φιλεῖ δ' ἕκαστος οὐ τὸ ὂν αὑτῷ ἀγαθὸν ἀλλὰ 25
τὸ φαινόμενον. διοίσει δ' οὐδέν· ἔσται γὰρ τὸ φιλητὸν φαι-
3 νόμενον. τριῶν δ' ὄντων δι' ἃ φιλοῦσιν, ἐπὶ μὲν τῇ τῶν ἀψύχων φιλήσει οὐ λέγεται φιλία· οὐ γάρ ἐστιν ἀντιφίλησις, οὐδὲ βούλησις ἐκείνῳ ἀγαθοῦ (γελοῖον γὰρ ἴσως τῷ οἴνῳ βούλεσθαι τἀγαθά, ἀλλ' εἴπερ, σῴζεσθαι βούλεται αὐτόν, ἵνα αὐτὸς 30
ἔχῃ)· τῷ δὲ φίλῳ φασὶ δεῖν βούλεσθαι τἀγαθὰ ἐκείνου ἕνεκα.

---

14. τὸ om. O^b 15. τὸ om. $L^b O^b$ 20. φιλητὸν $K^b L^b$ 21. ἂν εἴη] εἶναι K^b 23. fort. δοκεῖ δή 27. δι' om. K^b ἐπὶ] ἐν $K^b M^b$ 29. ἐκείνῳ scripsi: ἐκείνων codd.

çelişkinin yararlı olduğunu, en güzel uyumun karşıtlıklardan ve her şeyin çatışmayla oluştuğunu söyleyen Herakleitos.[72] Bunların karşısında Empedokles gibi başkaları da var: Benzerin benzerini aradığını söylüyor O. İmdi biz, fiziksel açıklamaları bir yana bırakalım (şimdiki araştırmamıza uygun değil), insanca olanları, karakter ve tutkularla ilgili olanları inceleyelim. Sözgelişi acaba dostluk herkeste ortaya çıkmaz mı, kötüler dost olamaz mı? Yine acaba yalnız bir tür dostluk mu var, yoksa daha çok mu? Kimi, onda bir aşırılık ve azlık sözkonusu olduğu için, tek olduğuna inanıyor, ama bunların güvendikleri kanıt yeterli değil. Çünkü tür bakımından değişik şeylerde de daha çok ve daha az sözkonusu: bunlardan daha önce sözetmiştik.

Sevilen şey ne, bu bilinirse belki bunlara bir açıklık getirebiliriz. Her şey değil, sevilen şey sevilir görünüyor. Bunun da ya iyi, ya hoş ya da yararlı olduğu düşünülüyor. Ne ki, onun aracılığıyla bir 'iyi' ya da bir haz ortaya çıkan şeyin yararlı olduğu düşünülse gerek, dolayısıyla sevilen şeyler amaçlar olarak 'iyi', 'hoş' olabilir. İmdi acaba insanlar 'iyi'yi mi yoksa kendileri için iyi olanı mı seviyor? Bunlar kimi zaman farklı olsa gerek! 'Hoş' ile ilgili olarak da bu böyle. Her kişinin kendisi için iyi olanı sevdiği ve sevilen şeyin saltık anlamda iyi olduğu düşünülüyor, oysa her kişiye göre kendisi için iyi olan şey öyle. İmdi herkes 'kendinde' iyi olanı değil, kendine öyle görüneni seviyor. Ne ki bu farklılık hiç önemli olmasa gerek, çünkü iyi görünen şey, sevilen şey olacaktır. İmdi sevilen şey bu üç şey olduğuna göre, cansız nesnelerle ilgili yakınlığa "dostluk" denemez, çünkü sevgi karşılıklığı yok, onun için bir iyi şey de istenemez (ona sahip olunması amacıyla, korunmasının istenmesi dışında, şarap için iyi şeyler istemek herhalde gülünç). Oysa dendiği gibi, dostlukla ilgili olarak, dostun kendisi için

τοὺς δὲ βουλομένους οὕτω τἀγαθὰ εὔνους λέγουσιν, ἂν μὴ ταὐτὸ καὶ παρ' ἐκείνου γίνηται· εὔνοιαν γὰρ ἐν ἀντιπεπονθόσι φιλίαν εἶναι. ἢ προσθετέον μὴ λανθάνουσαν; πολλοὶ γάρ 4
35 εἰσιν εὔνοι οἷς οὐχ ἑωράκασιν, ὑπολαμβάνουσι δὲ ἐπιεικεῖς
1156ª εἶναι ἢ χρησίμους· τοῦτο δὲ τὸ αὐτὸ κἂν ἐκείνων τις πάθοι πρὸς τοῦτον. εὔνοι μὲν οὖν οὗτοι φαίνονται ἀλλήλοις· φίλους δὲ πῶς ἄν τις εἴποι λανθάνοντας ὡς ἔχουσιν ἑαυτοῖς; δεῖ ἄρα εὐνοεῖν ἀλλήλοις καὶ βούλεσθαι τἀγαθὰ μὴ λανθάνοντας
5 δι' ἕν τι τῶν εἰρημένων.

3 Διαφέρει δὲ ταῦτα ἀλλήλων εἴδει· καὶ αἱ φιλήσεις III.
ἄρα καὶ αἱ φιλίαι. τρία δὴ τὰ τῆς φιλίας εἴδη, ἰσάριθμα τοῖς φιλητοῖς· καθ' ἕκαστον γάρ ἐστιν ἀντιφίλησις οὐ λανθάνουσα, οἱ δὲ φιλοῦντες ἀλλήλους βούλονται τἀγαθὰ ἀλλήλοις
10 ταύτῃ ᾗ φιλοῦσιν. οἱ μὲν οὖν διὰ τὸ χρήσιμον φιλοῦντες ἀλλήλους οὐ καθ' αὑτοὺς φιλοῦσιν, ἀλλ' ᾗ γίνεταί τι αὐτοῖς παρ' ἀλλήλων ἀγαθόν. ὁμοίως δὲ καὶ οἱ δι' ἡδονήν· οὐ γὰρ τῷ ποιούς τινας εἶναι ἀγαπῶσι τοὺς εὐτραπέλους, ἀλλ' ὅτι ἡδεῖς αὐτοῖς. οἵ τε δὴ διὰ τὸ χρήσιμον φιλοῦντες διὰ τὸ αὐτοῖς 2
15 ἀγαθὸν στέργουσι, καὶ οἱ δι' ἡδονὴν διὰ τὸ αὐτοῖς ἡδύ, καὶ οὐχ ᾗ ὁ φιλούμενός ἐστιν, ἀλλ' ᾗ χρήσιμος ἢ ἡδύς. κατὰ συμβεβηκός τε δὴ αἱ φιλίαι αὗταί εἰσιν· οὐ γὰρ ᾗ ἐστὶν ὅσπερ ἐστὶν ὁ φιλούμενος, ταύτῃ φιλεῖται, ἀλλ' ᾗ πορίζουσιν οἱ μὲν ἀγαθόν τι οἱ δ' ἡδονήν. εὐδιάλυτοι δὴ αἱ τοιαῦταί 3
20 εἰσι, μὴ διαμενόντων αὐτῶν ὁμοίων· ἐὰν γὰρ μηκέτι ἡδεῖς ἢ χρήσιμοι ὦσι, παύονται φιλοῦντες. τὸ δὲ χρήσιμον οὐ διαμένει, ἀλλ' ἄλλοτε ἄλλο γίνεται. ἀπολυθέντος οὖν δι' ὃ φίλοι ἦσαν, διαλύεται καὶ ἡ φιλία, ὡς οὔσης τῆς φιλίας πρὸς ἐκεῖνα. μάλιστα δ' ἐν τοῖς πρεσβύταις ἡ τοιαύτη δο- 4

---

33. καὶ om. K^b 1156ª 6. αἱ om. K^b 16. ὁ om. K^b ἐστιν ⟨ὅσπερ ἐστίν⟩ Bonitz 18. περ] ποτε L^b M^b

iyi şeyler istemek gerekir. Öte yandan karşısındakinden aynı şeyi görmüyorsa, bu şekilde iyi şeyler isteyen kişilere "yakınlık duyan" adı verilebilir. Yakınlık duyma karşılıklı olursa "dostluk" olur. Acaba gizli kalmamasını da eklemeli mi? Çünkü çoğu kimse hiç görmese bile, doğru ve yararlı olduğuna inandığı kişilere yakınlık duyar, bunlardan bazıları da bu kişilere aynı duyguyu besleyebilir. Bu durumda onlar biribirlerine yakınlık duyuyor diye düşünülür. Ne ki biribirlerine duydukları gizli kalıyorsa, nasıl onlara "dost" denebilir? İmdi karşılıklı olarak yakınlık duymak ve saklamaksızın, söylediklerimiz içinde birinden ötürü karşılıklı iyi şeyler istemek gerekiyor.

Bunlar türce biribirlerinden farklı, dolayısıyla cana yakınlık ile dostluklar da öyle. İmdi sevilen şeye eş sayıda, üç tür dostluk var. Herbirinde saklı olmayan karşılıklı yakınlık olur, biribirlerini severler, neden ötürü biribirlerini seviyorlarsa, onla ilgili olarak biribirleri için iyi şeyler isterler. Demek bir yarardan ötürü biribirlerini sevenler kendileri için değil, karşılıklı olarak kendilerine bir 'iyi' oluştuğundan ötürü severler. Hazdan ötürü sevenler için de bu böyle. Nitekim insanlar şakacı kişileri belli kimi nitelikleri olduğu için değil, hoş olduğu için seviyor. Demek bir yarar nedeniyle sevenler, kendilerine bir 'iyi' geldiğinden ötürü seviyor, haz nedeniyle sevenler de kendilerine bir 'hoşluk' geldiği için; sevilenin kendisinden ötürü değil, 'yararlı' ya da 'hoş'tan ötürü. İmdi bu tür dostluklar geçici, ilineksel; çünkü sevilen kişi ne ise o olmasından ötürü değil, ya bir 'iyi' ya da bir 'haz' sağladığı için seviliyor. Böylesi dostluklar çabuk bozulur, çünkü kişiler hep aynı kalmaz. Hoş ya da yararlı olmadıkları zaman dostluk biter. Yararlı olan ise kalıcı değil, değişik zamanlarda değişik bir şey yararlı olur, dostluklarının nedeni ortadan kalkınca da dostluk biter, çünkü dostluk ona bağlı. Çoğunlukla yaşlılarda bu tür dostluk oluşuyor

κεῖ φιλία γίνεσθαι (οὐ γὰρ τὸ ἡδὺ οἱ τηλικοῦτοι διώκουσιν ἀλλὰ τὸ ὠφέλιμον), καὶ τῶν ἐν ἀκμῇ καὶ νέων ὅσοι τὸ συμφέρον διώκουσιν. οὐ πάνυ δ' οἱ τοιοῦτοι οὐδὲ συζῶσι μετ' ἀλλήλων· ἐνίοτε γὰρ οὐδ' εἰσὶν ἡδεῖς· οὐδὲ δὴ προσδέονται τῆς τοιαύτης ὁμιλίας, ἐὰν μὴ ὠφέλιμοι ὦσιν· ἐπὶ τοσοῦτον γάρ εἰσιν ἡδεῖς ἐφ' ὅσον ἐλπίδας ἔχουσιν ἀγαθοῦ. εἰς ταύτας δὲ καὶ τὴν ξενικὴν τιθέασιν. ἡ δὲ τῶν νέων φιλία δι' ἡδονὴν εἶναι δοκεῖ· κατὰ πάθος γὰρ οὗτοι ζῶσι, καὶ μάλιστα διώκουσι τὸ ἡδὺ αὑτοῖς καὶ τὸ παρόν· τῆς ἡλικίας δὲ μεταπιπτούσης καὶ τὰ ἡδέα γίνεται ἕτερα. διὸ ταχέως γίνονται φίλοι καὶ παύονται· ἅμα γὰρ τῷ ἡδεῖ ἡ φιλία μεταπίπτει, τῆς δὲ τοιαύτης ἡδονῆς ταχεῖα ἡ μεταβολή. καὶ ἐρωτικοὶ δ' οἱ νέοι· κατὰ πάθος γὰρ καὶ δι' ἡδονὴν τὸ πολὺ τῆς ἐρωτικῆς· διόπερ φιλοῦσι καὶ ταχέως παύονται, πολλάκις τῆς αὐτῆς ἡμέρας μεταπίπτοντες. συνημερεύειν δὲ καὶ συζῆν οὗτοι βούλονται· γίνεται γὰρ αὐτοῖς τὸ κατὰ τὴν φιλίαν οὕτως.

Τελεία δ' ἐστὶν ἡ τῶν ἀγαθῶν φιλία καὶ κατ' ἀρετὴν ὁμοίων· οὗτοι γὰρ τἀγαθὰ ὁμοίως βούλονται ἀλλήλοις ᾗ ἀγαθοί, ἀγαθοὶ δ' εἰσὶ καθ' αὑτούς. οἱ δὲ βουλόμενοι τἀγαθὰ τοῖς φίλοις ἐκείνων ἕνεκα μάλιστα φίλοι· δι' αὐτοὺς γὰρ οὕτως ἔχουσι, καὶ οὐ κατὰ συμβεβηκός· διαμένει οὖν ἡ τούτων φιλία ἕως ἂν ἀγαθοὶ ὦσιν, ἡ δ' ἀρετὴ μόνιμον. καὶ ἔστιν ἑκάτερος ἁπλῶς ἀγαθὸς καὶ τῷ φίλῳ· οἱ γὰρ ἀγαθοὶ καὶ ἁπλῶς ἀγαθοὶ καὶ ἀλλήλοις ὠφέλιμοι. ὁμοίως δὲ καὶ ἡδεῖς· καὶ γὰρ ἁπλῶς οἱ ἀγαθοὶ ἡδεῖς καὶ ἀλλήλοις· ἑκάστῳ γὰρ καθ' ἡδονήν εἰσιν αἱ οἰκεῖαι πράξεις καὶ αἱ τοιαῦται,

---

27. οὐδὲ om. L^b Asp. 28. δὴ om. K^b 30. ἐλπίδα $K^b\Gamma$ 1156^b 2. δ'] γὰρ Asp. 3. τοῖς ἐρωτικοῖς M^b (utramque scripturam agnoscit Asp.) καὶ ταχέως] fort. ταχέως καὶ 5. τὴν om. L^b M^b 8. ὁμοίως βούλονται] βούλονται σὺν K^b 13. fort. ⟨καὶ⟩ ἁπλῶς

(bu yaştakiler hoş olanı değil, yararlı olanı arıyor), yetişkinlerle gençlerin içinde de yararlı olanı arayan var. Bu tür kişiler günlerini birlikte geçirmezler, çünkü kimi kez hoş değillerdir. Yararlı değillerse bu tür bir birlikteliğe gerek de duymazlar, çünkü bir 'iyi'nin umudunu taşıdıkları oranda hoş olurlar. Yabancılarla dostluk da bunlar arasına konur. Gençlerin dostluğunun ise hazza bağlı olduğu görülüyor, onlar tutkuya göre yaşar ve en çok kendileri için hazır bulunan hoş şeyi ararlar. Yaş ilerleyince hoş şeyler de değişir. Bu nedenle çabuk dost olup çabuk keserler dostluklarını. Hoş olan şeyle birlikte dostluk da değişir, bu tür hazzın değişmesi ise çabuk olur. Gençler cinselliğe düşkün, cinsel sevgi ise çoğun tutkuya ve hazza bağlı. Bunun için çoğu kez aynı gün içinde duyguları değiştiğinden, çabuk sevip çabuk vazgeçerler. Ne ki bunlar günlerini birlikte geçirmek ve birlikte yaşamak ister, çünkü dostluğa uyan şey, onlar için bu şekilde oluşur.

İyi kişilerin ve erdeme uygun olarak birbirine benzer kişilerin dostluğu mükemmeldir. Bunlar iyi olduklarından ötürü biribirleri için karşılıklı iyi şeyler isterler; kendi başına iyidirler. Dostlarına sırf onlar için iyi şeyler isteyenler en çok dost olanlardır. Bunlar ilineksel anlamda değil, kendilerinden ötürü böyle olurlar. Dostlukları iyi oldukları sürece devam eder, erdem de kalıcı bir şey. Herbiri hem saltık anlamda hem de dostu için iyidir. İyi kişiler hem saltık anlamda iyidir hem de biribirleri için yararlı. Aynı zamanda hoşturlar, çünkü iyi kişiler hem saltık anlamda hem de biribirlerine karşı hoş olur. Her birey için hazza uygun eylemler kendine uygun eylemlerdir,

τῶν ἀγαθῶν δὲ αἱ αὐταὶ ἢ ὅμοιαι. ἡ τοιαύτη δὲ φιλία 7
μόνιμος εὐλόγως ἐστίν· συνάπτει γὰρ ἐν αὐτῇ πάνθ' ὅσα
τοῖς φίλοις δεῖ ὑπάρχειν. πᾶσα γὰρ φιλία δι' ἀγαθόν ἐστιν
ἢ δι' ἡδονήν, ἢ ἁπλῶς ἢ τῷ φιλοῦντι, καὶ καθ' ὁμοιότητά
τινα· ταύτῃ δὲ πάνθ' ὑπάρχει τὰ εἰρημένα καθ' αὑτούς·
† ταύτῃ γὰρ ὅμοια † καὶ τὰ λοιπά, τό τε ἁπλῶς ἀγαθὸν καὶ
ἡδὺ ἁπλῶς ἐστίν, μάλιστα δὲ ταῦτα φιλητά· καὶ τὸ φιλεῖν
δὴ καὶ ἡ φιλία ἐν τούτοις μάλιστα καὶ ἀρίστη. σπανίας δ' 8
εἰκὸς τὰς τοιαύτας εἶναι· ὀλίγοι γὰρ οἱ τοιοῦτοι. ἔτι δὲ προσ-
δεῖται χρόνου καὶ συνηθείας· κατὰ τὴν παροιμίαν γὰρ οὐκ
ἔστιν εἰδῆσαι ἀλλήλους πρὶν τοὺς λεγομένους ἅλας συναναλῶ-
σαι· οὐδ' ἀποδέξασθαι δὴ πρότερον οὐδ' εἶναι φίλους, πρὶν ἂν
ἑκάτερος ἑκατέρῳ φανῇ φιλητὸς καὶ πιστευθῇ. οἱ δὲ ταχέως 9
τὰ φιλικὰ πρὸς ἀλλήλους ποιοῦντες βούλονται μὲν φίλοι εἶναι,
οὐκ εἰσὶ δέ, εἰ μὴ καὶ φιλητοί, καὶ τοῦτ' ἴσασιν· βούλησις μὲν
γὰρ ταχεῖα φιλίας γίνεται, φιλία δ' οὔ.

Αὕτη μὲν οὖν καὶ κατὰ τὸν χρόνον καὶ κατὰ τὰ λοιπὰ IV.
τελεία ἐστί, καὶ κατὰ πάντα ταὐτὰ γίνεται καὶ ὅμοια ἑκα-
τέρῳ παρ' ἑκατέρου, ὅπερ δεῖ τοῖς φίλοις ὑπάρχειν. ἡ δὲ
1157ᵃ διὰ τὸ ἡδὺ ὁμοίωμα ταύτης ἔχει· καὶ γὰρ οἱ ἀγαθοὶ ἡδεῖς
ἀλλήλοις. ὁμοίως δὲ καὶ ἡ διὰ τὸ χρήσιμον· καὶ γὰρ τοιοῦ-
τοι ἀλλήλοις οἱ ἀγαθοί. μάλιστα δὲ καὶ ἐν τούτοις αἱ φι-
λίαι μένουσιν, ὅταν τὸ αὐτὸ γίνηται παρ' ἀλλήλων, οἷον
ἡδονή, καὶ μὴ μόνον οὕτως ἀλλὰ καὶ ἀπὸ τοῦ αὐτοῦ, οἷον
τοῖς εὐτραπέλοις, καὶ μὴ ὡς ἐραστῇ καὶ ἐρωμένῳ. οὐ γὰρ

---

17. *αἱ* om. K^b (Γ?) *αὗται* K^b: *τοιαῦται* Γ (et fort. Asp.) *ἢ* om. K^b
22. *ταύτῃ γὰρ ὅμοιοι* K^b Γ Asp.: *ταύτῃ δὲ ὅμοια* altera lectio ap. Asp.: *ταῦτα γὰρ ὅμοιοι* codices Victorii 23. *δὴ* $K^b L^b$ Γ 24. *δὴ* Ramsauer: *δὲ* codd. 28. *ἂν* add. O^b 30. *μὲν* om. K^b 34. *ταὐτὰ* Muretus: *ταῦτα* $L^b M^b$ Γ: om. K^b *ὁμοία* codd. (et ut videtur Asp.)
1157ᵃ 2. *ἡ* Γ: *οἱ* $K^b L^b M^b$ *οὗτοι* K^b 3. *οἱ* om. $K^b L^b$ 4. *διαμένουσι* $L^b M^b$

iyi kişilerin eylemleri de ya aynı ya da benzer. İmdi bu tür dostluğun kalıcı olması akla uygun. Nitekim bu dostlukta dostlarda bulunması gereken tüm nitelikler bir aradadır, çünkü her dostluk ya saltık anlamda ya da seven kişiye göre, bir 'iyi' ya da bir hazdan ötürüdür ve bir benzerliğe göre oluşur. Bu tür dostlukta söylediklerimizin hepsi dostların kendilerinde var. Bunlardaki benzer özellikler ve öteki nitelikler saltık anlamda iyi ve saltık anlamda hoştur, en çok sevilenler de bunlar. Demek ki, hem sevgi hem de en iyi dostluk en çok bunlarda. Ne ki böylesi dostlukların ender olması doğal, çünkü bu tür kişiler çok değil. Ayrıca zamana ve alışkanlığa gerek var: Atasözüne göre "birlikte tuz tüketmeden" biribirini tanımak olanaksız. Herbiri ötekine sevilir görünmeden ve buna inanmadan önce ne dost kabul edilebilir ne de dost olunabilir. Birbirleri için hemen dostca şeyler yaparak dost olmak isteyen kişiler de var, ama sevilir kişi değillerse ve bunu bilmiyorlarsa dost değillerdir. Çünkü dostluk isteği çabuk doğar, oysa dostluk öyle değil.

İmdi bu dostluk zaman ve öteki koşullar açısından mükemmel. Tam dostlar arasında olması gereken şey: Herbiri ötekinden hep aynı ve benzer bir karşılık alır. Hoşluktan ötürü doğan dostluk bu tür dostlukla bir benzerlik taşıyor, çünkü iyi kişiler de biribirleri için hoş. Yarardan ötürü doğan dostlukta da bu böyle, böyle olan kişiler de biribirleri için iyi. Bunlardaki dostluklar özellikle iki taraftan da aynı sonuç ortaya çıkarsa, sözgelişi haz ortaya çıkarsa, kalıcı olur. Ne ki yalnızca bu yetmez, aynı zamanda haz, aşık olanla aşık olunandaki gibi değil, şakacı kişilerdeki gibi aynı şeye bağlı olmalı.

ἐπὶ τοῖς αὐτοῖς ἥδονται οὗτοι, ἀλλ' ὁ μὲν ὁρῶν ἐκεῖνον, ὁ δὲ θεραπευόμενος ὑπὸ τοῦ ἐραστοῦ· ληγούσης δὲ τῆς ὥρας ἐνίοτε καὶ ἡ φιλία λήγει (τῷ μὲν γὰρ οὐκ ἔστιν ἡδεῖα ἡ ὄψις, τῷ δ' οὐ γίνεται ἡ θεραπεία)· πολλοὶ δ' αὖ διαμένουσιν, ἐὰν ἐκ τῆς συνηθείας τὰ ἤθη στέρξωσιν, ὁμοήθεις
2 ὄντες. οἱ δὲ μὴ τὸ ἡδὺ ἀντικαταλλαττόμενοι ἀλλὰ τὸ χρήσιμον ἐν τοῖς ἐρωτικοῖς καὶ εἰσὶν ἧττον φίλοι καὶ διαμένουσιν. οἱ δὲ διὰ τὸ χρήσιμον ὄντες φίλοι ἅμα τῷ συμφέροντι διαλύονται· οὐ γὰρ ἀλλήλων ἦσαν φίλοι ἀλλὰ τοῦ λυσιτελοῦς. δι' ἡδονὴν μὲν οὖν καὶ διὰ τὸ χρήσιμον καὶ φαύλους ἐνδέχεται φίλους ἀλλήλοις εἶναι καὶ ἐπιεικεῖς φαύλοις καὶ μηδέτερον ὁποιῳοῦν, δι' αὑτοὺς δὲ δῆλον ὅτι μόνους τοὺς ἀγαθούς· οἱ γὰρ κακοὶ οὐ χαίρουσιν ἑαυτοῖς, εἰ
3 μή τις ὠφέλεια γίνοιτο. καὶ μόνη δὲ ἡ τῶν ἀγαθῶν φιλία ἀδιάβλητός ἐστιν· οὐ γὰρ ῥᾴδιον οὐδενὶ πιστεῦσαι περὶ τοῦ ἐν πολλῷ χρόνῳ ὑφ' αὑτοῦ δεδοκιμασμένου· καὶ τὸ πιστεύειν ἐν τούτοις, καὶ τὸ μηδέποτ' ἂν ἀδικῆσαι, καὶ ὅσα ἄλλα ἐν τῇ ὡς ἀληθῶς φιλίᾳ ἀξιοῦται. ἐν δὲ ταῖς ἑτέραις
4 οὐδὲν κωλύει τὰ τοιαῦτα γίνεσθαι. ἐπεὶ γὰρ οἱ ἄνθρωποι λέγουσι φίλους καὶ τοὺς διὰ τὸ χρήσιμον, ὥσπερ αἱ πόλεις (δοκοῦσι γὰρ αἱ συμμαχίαι ταῖς πόλεσι γίνεσθαι ἕνεκα τοῦ συμφέροντος), καὶ τοὺς δι' ἡδονὴν ἀλλήλους στέργοντας, ὥσπερ οἱ παῖδες, ἴσως λέγειν μὲν δεῖ καὶ ἡμᾶς φίλους τοὺς τοιούτους, εἴδη δὲ τῆς φιλίας πλείω, καὶ πρώτως μὲν καὶ κυρίως τὴν τῶν ἀγαθῶν ᾗ ἀγαθοί, τὰς δὲ λοιπὰς καθ' ὁμοιότητα· ᾗ γὰρ ἀγαθόν τι καὶ ὅμοιόν τι, ταύτῃ φίλοι·
5 καὶ γὰρ τὸ ἡδὺ ἀγαθὸν τοῖς φιληδέσιν. οὐ πάνυ δ' αὗται συνάπτουσιν, οὐδὲ γίνονται οἱ αὐτοὶ φίλοι διὰ τὸ χρήσιμον

---

9. *οὐκ ἔστιν*] *οὐκέτι* Ramsauer 22. *ὑφ' αὑτοῦ* K^b: *ὑπ' αὐτοῦ* L^b Γ: *ὑπ' αὐτῶν* M^b 24. *ἑταιρείαις* K^b 25. *γὰρ*] *δὲ* M^b 32. *τι* post *ὅμοιον* om. L^b

Ötekiler aynı şeyden haz almaz, biri ötekini gördüğü için, öteki de sevenden ilgi gördüğü için. Ama kimi kez "bahar" geçince dostluk da biter (çünkü biri için artık görmek hoş değildir, öteki için de ilgi yoktur artık). Yine de pek çok kişi benzer karakterde oldukları için, alışkanlıkla biribirlerinin karakterlerini sevmişlerse, böyle bir dostluğu sürdürür. Ama aşkta 'hoş' değil, yarar karşılıklığı varsa, dostluk daha az ve daha kısadır. Çünkü yarar nedeniyle dost olanlar yararla birlikte dostluklarını da keser, nitekim biribirlerinin değil, çıkarın dostudurlar. İmdi hazdan ve yarardan ötürü hem kötü kişilerin biribiriyle dost olması, hem doğru kişilerin kötü kişilerle dost olması olası. Hiçbiri olmasa kim olursa olsun onunla dost olunabilir. Ama şu açık: 'Kendileri nedeniyle' yalnızca iyi kişiler dost olur. Kötü kişiler bir yarar gelmiyorsa, biribirinden hoşlanmaz. Yalnızca iyilerin dostluğuna çamur atılamaz: Uzun süre kendisini denediği bir kişi hakkında bir başkasına inanmak pek kolay değil. Güven duymak, asla adaletsizlik yapmamak, gerçek dostluğa layık şeyler yapmak ancak bu dostluklarda söz konusu. Oysa öteki dostluk türlerinde olumsuz şeylere bir engel yok. Madem insanlar devletler gibi (devletlerin müttefikliklerinin yararlı olan için oluştuğu görünüyor) yarardan ötürü dost olduklarını, yine çocuklar gibi hazdan ötürü biribirlerini sevdiklerini söylüyorlar, belki bizim bu tür kişilere de 'dost' dememiz gerekir. Ne ki, dostluğun daha çok türü olsa da, ilk ve asıl anlamdaki, iyi oldukları için iyi olan kişilerin dostluğudur, ötekiler benzerlik açısından: İyi bir şeye sahip oldukları ve ona benzer oldukları için. Nitekim hoş şey de düşkünü olan kişiler için bir 'iyi'. Ama bu tür dostluklar biribirine bağlanamaz, çünkü yarardan ve hoşluktan ötürü dost olan kişiler de

καὶ διὰ τὸ ἡδύ· οὐ γὰρ πάνυ συνδυάζεται τὰ κατὰ συμβεβηκός.

1157ᵇ Εἰς ταῦτα δὲ τὰ εἴδη τῆς φιλίας νενεμημένης οἱ μὲν 6
φαῦλοι ἔσονται φίλοι δι' ἡδονὴν ἢ τὸ χρήσιμον, ταύτῃ ὅμοιοι ὄντες, οἱ δ' ἀγαθοὶ δι' αὐτοὺς φίλοι· ᾗ γὰρ ἀγαθοί. οὗτοι μὲν οὖν ἁπλῶς φίλοι, ἐκεῖνοι δὲ κατὰ συμβεβηκὸς καὶ τῷ ὁμοιῶσθαι τούτοις. Ὥσπερ δ' ἐπὶ τῶν ἀρετῶν οἱ V.
μὲν καθ' ἕξιν οἱ δὲ κατ' ἐνέργειαν ἀγαθοὶ λέγονται, οὕτω καὶ ἐπὶ τῆς φιλίας· οἱ μὲν γὰρ συζῶντες χαίρουσιν ἀλλήλοις καὶ πορίζουσι τἀγαθά, οἱ δὲ καθεύδοντες ἢ κεχωρισμένοι τοῖς τόποις οὐκ ἐνεργοῦσι μέν, οὕτω δ' ἔχουσιν ὥστ' ἐνεργεῖν φιλικῶς· οἱ γὰρ τόποι οὐ διαλύουσι τὴν φιλίαν ἁπλῶς, ἀλλὰ τὴν ἐνέργειαν. ἐὰν δὲ χρόνιος ἡ ἀπουσία γίνηται, καὶ τῆς φιλίας δοκεῖ λήθην ποιεῖν· ὅθεν εἴρηται "πολλὰς δὴ φιλίας ἀπροσηγορία διέλυσεν." οὐ φαίνονται 2
δ' οὔθ' οἱ πρεσβῦται οὔθ' οἱ στρυφνοὶ φιλικοὶ εἶναι· βραχὺ γὰρ ἐν αὐτοῖς τὸ τῆς ἡδονῆς, οὐδεὶς δὲ δύναται συνημερεύειν τῷ λυπηρῷ οὐδὲ τῷ μὴ ἡδεῖ· μάλιστα γὰρ ἡ φύσις φαίνεται τὸ λυπηρὸν φεύγειν, ἐφίεσθαι δὲ τοῦ ἡδέος. οἱ 3
δ' ἀποδεχόμενοι ἀλλήλους, μὴ συζῶντες δέ, εὔνοις ἐοίκασι μᾶλλον ἢ φίλοις. οὐδὲν γὰρ οὕτως ἐστὶ φίλων ὡς τὸ συζῆν (ὠφελείας μὲν γὰρ οἱ ἐνδεεῖς ὀρέγονται, συνημερεύειν δὲ καὶ οἱ μακάριοι· μονώταις γὰρ εἶναι τούτοις ἥκιστα προσήκει)· συνδιάγειν δὲ μετ' ἀλλήλων οὐκ ἔστι μὴ ἡδεῖς ὄντας μηδὲ χαίροντας τοῖς αὐτοῖς, ὅπερ ἡ ἑταιρικὴ δοκεῖ ἔχειν.

Μάλιστα μὲν οὖν ἐστὶ φιλία ἡ τῶν ἀγαθῶν, καθάπερ 4
πολλάκις εἴρηται· δοκεῖ γὰρ φιλητὸν μὲν καὶ αἱρετὸν τὸ

1157ᵇ 3. φίλοι om. Kᵇ 9. ὥστ'] ὥστε καὶ Lᵇ 12. λήθην δοκεῖ Kᵇ 15. προσημερεύειν Kᵇ 17. post τὸ add. μὲν Mᵇ Γ 21. γὰρ Kᵇ: μὲν γὰρ vulg.

aynı kişiler değil; kaldı ki, ilineksel anlamda varolan nesneler arasında bağlantı olmaz.

Madem dostluk bu türlere ayrıldı, kötü kişiler, bu açıdan banzer oldukları için, ya haz ya da yarar nedeniyle dost olacaklardır; iyi kişiler ise 'kendileri nedeniyle' dost, çünkü iyidirler. İmdi berikiler saltık anlamda dosttur, ötekiler ilineksel anlamda ve berikilere benzemeleri açısından. Nasıl erdemlerle ilgili olarak, kiminin huy kiminin de etkinlik açısından iyi olduğunu söylediysek, dostlukta da bu böyle. Günlerini birlikte geçirenler biribirlerinden hoşlanırlar ve biribirlerine iyi şeyler kazandırırlar. Uyuyanlar ya da ayrı yerlerde olanlar ise, etkin bir dostluğu gerçekleştiremezler, ama dostca bir etkinliği gerçekleştirecek kişilerdir. Yer uzaklığı saltık anlamda dostluğu değil, yalnızca onun etkinliğini bozar. Ayrılık süresi uzarsa, dostluğun unutulmasına neden olduğu görünüyor, Bu yüzden "iletişimsizlik pek çok dostluğu sona erdirmiştir" derler. Öyle geliyor ki, yaşlılar da çetin kişiler de dostluğa uygun kişiler değil. Bunlarda hazla ilgili şey pek az, hiçkimse de üzüntü verici ya da hoş olmayan kişiyle gününü geçiremez. Doğa, özellikle acı verici şeyden kaçıyor, hoş şeye yöneliyor, görünen bu. Biribirleriyle anlaşan ama birlikte yaşamayanlar dosttan çok, yakınlık duyan kişilere benzer, çünkü birlikte yaşamak kadar dostlara özgü olan başka hiçbir şey yok (nitekim gereksinim içinde olanlar yardım ister, mutlu olanlar da günlerini birlikte geçirmek; yalnız olmak hoşlarına gitmez). Ne ki, hoş olmayanların ve aynı şeyden hoşlanmayanların biribirleriyle birlikte olmaları olanaksız: Bu iş arkadaşlığına benzeyen bir şey.

Demek, sık sık dediğimiz gibi, iyilerinkidir özellikle dostluk olan; saltık anlamda iyi ya da hoş olan şey sevilecek ve ter-

ἁπλῶς ἀγαθὸν ἢ ἡδύ, ἑκάστῳ δὲ τὸ αὐτῷ τοιοῦτον· ὁ δ'
5 ἀγαθὸς τῷ ἀγαθῷ δι' ἄμφω ταῦτα. ἔοικε δ' ἡ μὲν φί-
λησις πάθει, ἡ δὲ φιλία ἕξει· ἡ γὰρ φίλησις οὐχ ἧττον
πρὸς τὰ ἄψυχά ἐστιν, ἀντιφιλοῦσι δὲ μετὰ προαιρέσεως, 30
ἡ δὲ προαίρεσις ἀφ' ἕξεως· καὶ τἀγαθὰ βούλονται τοῖς
φιλουμένοις ἐκείνων ἕνεκα, οὐ κατὰ πάθος ἀλλὰ καθ' ἕξιν.
καὶ φιλοῦντες τὸν φίλον τὸ αὑτοῖς ἀγαθὸν φιλοῦσιν· ὁ γὰρ
ἀγαθὸς φίλος γινόμενος ἀγαθὸν γίνεται ᾧ φίλος. ἑκάτερος
οὖν φιλεῖ τε τὸ αὐτῷ ἀγαθόν, καὶ τὸ ἴσον ἀνταποδίδωσι 35
τῇ βουλήσει καὶ τῷ ἡδεῖ· λέγεται γὰρ φιλότης ἰσότης,
VI. μάλιστα δὲ τῇ τῶν ἀγαθῶν ταὐθ' ὑπάρχει. Ἐν δὲ τοῖς 1158ᵃ
στρυφνοῖς καὶ πρεσβυτικοῖς ἧττον γίνεται ἡ φιλία, ὅσῳ
δυσκολώτεροί εἰσι καὶ ἧττον ταῖς ὁμιλίαις χαίρουσιν· ταῦτα
γὰρ δοκεῖ μάλιστ' εἶναι φιλικὰ καὶ ποιητικὰ φιλίας. διὸ
νέοι μὲν γίνονται φίλοι ταχύ, πρεσβῦται δ' οὔ· οὐ γὰρ γί- 5
νονται φίλοι οἷς ἂν μὴ χαίρωσιν· ὁμοίως δ' οὐδ' οἱ στρυ-
φνοί. ἀλλ' οἱ τοιοῦτοι εὔνοι μέν εἰσιν ἀλλήλοις· βούλονται
γὰρ τἀγαθὰ καὶ ἀπαντῶσιν εἰς τὰς χρείας· φίλοι δ' οὐ
πάνυ εἰσὶ διὰ τὸ μὴ συνημερεύειν μηδὲ χαίρειν ἀλλήλοις,
2 ἃ δὴ μάλιστ' εἶναι δοκεῖ φιλικά. πολλοῖς δ' εἶναι φίλον 10
κατὰ τὴν τελείαν φιλίαν οὐκ ἐνδέχεται, ὥσπερ οὐδ' ἐρᾶν
πολλῶν ἅμα (ἔοικε γὰρ ὑπερβολῇ, τὸ τοιοῦτο δὲ πρὸς ἕνα
πέφυκε γίνεσθαι)· πολλοὺς δ' ἅμα τῷ αὐτῷ ἀρέσκειν
3 σφόδρα οὐ ῥᾴδιον, ἴσως δ' οὐδ' ἀγαθοὺς εἶναι. δεῖ δὲ καὶ ἐμ-
πειρίαν λαβεῖν καὶ ἐν συνηθείᾳ γενέσθαι, ὃ παγχάλεπον. 15
διὰ τὸ χρήσιμον δὲ καὶ τὸ ἡδὺ πολλοῖς ἀρέσκειν ἐνδέχε-

---

27. ἀγαθὸν καὶ ἡδύ, τῷ δ' ἀγαθῷ ἄμφω K^b 34. γενόμενος $L^b M^b$ 35. τε τὸ] τό τε K^b Γ 36. εἶδει pr. L^b Γ ἰσότης K^b: ἡ ἰσότης vulg. 1158ᵃ 1. δὲ τῇ Asp.: δὴ τῇ codd. 3. δύσκολοί τε εἰσὶ K^b 13. πολλοῖς $L^b M^b$ ἀρέσκειν σφόδρα] σφόδρα ἀρέσκειν K^b 14. ἀγαθοῖς L^b: ἀγαθὸν Γ Asp. 16. πολλοὺς coni. Ramsauer

cih edilecek bir şey olarak görünüyor. Ama herbir kişi için kendisine öyle görünen şey böyle. İyi kişi için, iyi olan, herikisini de kapsar. Sevecenlik bir tutkuya, dostluk ise bir huya benziyor. Çünkü sevecenlik cansız şeylere karşı da daha az görünmüyor. Oysa karşılıklı dostluk tercihle birlikte olur, tercih de bir huya bağlı. Bir tutkuya göre değil, bir huya göre sevilenler için iyi şeyler istenir. İnsanlar dostu severken kendileri için iyi olanı sever, çünkü iyi kişi dost olduğunda dostu olduğu kişi için bir 'iyi' olur. Demek ki, herkes kendisi için iyi olanı sever ve gerek istek açısından gerekse hoşluk açısından değişim olur. Eşitliğin dostluğun ruhu olduğu söylenir, bu da en çok iyilerin dostluğunda söz konusu. Çetin kişiler ve yaşlılar ne denli kötü zamanlarındaysa ve biribirlerinden ne denli az hoşlanırlarsa, bunlarda dostluğun ortaya çıkması o denli azalır. Çünkü dostluğa uygun ve dostluğun oluşmasına etkin olan şeyler en çok bunlar. Bunun için gençler çabuk dost olur, yaşlılar ise olmaz, çünkü biribirlerinden hoşlanmayan kişilerde dostluk söz konusu olmaz. Çetin kişilerde de bu böyle. Ne ki bu tür kişiler biribirlerine yakınlık duyan kişilerdir, biribirleri için iyi şeyler isterler, gereksinim içinde olduklarında yardımlaşırlar. Ama günlerini birlikte geçirmedikleri için ve biribirlerinden zevk almadıkları için henüz dost değillerdir, çünkü özellikle bunlar dostluğa yakışır şeyler olarak görünüyor. Aynı anda bir çok kişiye aşık olmak nasıl olası değilse, bir çok kişiyle mükemmel dostluk kurmak da olası değil (nitekim aşk yalnızca bir kişiye karşı olan bir aşırılığa benziyor). Aynı kişinin aynı anda bir çok kişinin çok fazla hoşuna gitmesi pek kolay değil. Herhalde hepsinin iyi olması da öyle. Ayrıca deneyim kazanmak ve alışmak da gerekiyor. Ama yarar ya da 'hoş'tan ötürü birçok kişinin hoşuna gitmek olanaklı olduğundan, bu hepten zor:

ται· πολλοὶ γὰρ οἱ τοιοῦτοι, καὶ ἐν ὀλίγῳ χρόνῳ αἱ ὑπηρεσίαι. τούτων δὲ μᾶλλον ἔοικε φιλίᾳ ἡ διὰ τὸ ἡδύ, ὅταν 4
ταὐτὰ ἀπ' ἀμφοῖν γίνηται καὶ χαίρωσιν ἀλλήλοις ἢ τοῖς
αὐτοῖς, οἷαι τῶν νέων εἰσὶν αἱ φιλίαι· μᾶλλον γὰρ ἐν
ταύταις τὸ ἐλευθέριον. ἡ δὲ διὰ τὸ χρήσιμον ἀγοραίων.
καὶ οἱ μακάριοι δὲ χρησίμων μὲν οὐδὲν δέονται, ἡδέων δέ·
συζῆν μὲν γὰρ βούλονταί τισι, τὸ δὲ λυπηρὸν ὀλίγον μὲν
χρόνον φέρουσιν, συνεχῶς δ' οὐδεὶς ἂν ὑπομείναι, οὐδ' αὐτὸ
τὸ ἀγαθόν, εἰ λυπηρὸν αὐτῷ εἴη· διὸ τοὺς φίλους ἡδεῖς ζη-
τοῦσιν. δεῖ δ' ἴσως καὶ ἀγαθοὺς τοιούτους ὄντας, καὶ ἔτι αὐτοῖς· 5
οὕτω γὰρ ὑπάρξει αὐτοῖς ὅσα δεῖ τοῖς φίλοις. οἱ δ' ἐν ταῖς
ἐξουσίαις διῃρημένοις φαίνονται χρῆσθαι τοῖς φίλοις· ἄλλοι
γὰρ αὐτοῖς εἰσὶ χρήσιμοι καὶ ἕτεροι ἡδεῖς, ἄμφω δ' οἱ αὐτοὶ
οὐ πάνυ· οὔτε γὰρ ἡδεῖς μετ' ἀρετῆς ζητοῦσιν οὔτε χρησίμους
εἰς τὰ καλά, ἀλλὰ τοὺς μὲν εὐτραπέλους τοῦ ἡδέος ἐφιέμενοι,
τοὺς δὲ δεινοὺς πρᾶξαι τὸ ἐπιταχθέν, ταῦτα δ' οὐ πάνυ γίνεται
ἐν τῷ αὐτῷ. ἡδὺς δὲ καὶ χρήσιμος ἅμα εἴρηται ὅτι ὁ σπου- 6
δαῖος· ἀλλ' ὑπερέχοντι οὐ γίνεται ὁ τοιοῦτος φίλος, ἐὰν μὴ
καὶ τῇ ἀρετῇ ὑπερέχηται· εἰ δὲ μή, οὐκ ἰσάζει ἀνάλογον
ὑπερεχόμενος. οὐ πάνυ δ' εἰώθασι τοιοῦτοι γίνεσθαι.

1158ᵇ Εἰσὶ δ' οὖν αἱ εἰρημέναι φιλίαι ἐν ἰσότητι· τὰ γὰρ 7
8 αὐτὰ γίνεται ἀπ' ἀμφοῖν καὶ βούλονται ἀλλήλοις, ἢ ἕτεροι
ἀνθ' ἑτέρου καταλλάττονται, οἷον ἡδονὴν ἀντ' ὠφελείας·
ὅτι δὲ καὶ ἧττόν εἰσιν αὗται φιλίαι καὶ μένουσιν, εἴ-
ρηται. δοκοῦσι δὲ [καὶ] δι' ὁμοιότητα καὶ ἀνομοιότητα
ταὐτοῦ εἶναί τε καὶ οὐκ εἶναι φιλίαι· καθ' ὁμοιότητα γὰρ

---

18. φιλίᾳ Asp.: φιλία codd. ἡ om. Kᵇ 19. ὑπ' Lᵇ 22. δὲ add. Lᵇ Γ 29. αὐτοί εἰσιν οἱ χρήσιμοι pr. Kᵇ 32. post ἐπιταχθέν add. εἰς τὰς χρείας Asp. 33. ὅτι om. Kᵇ Mᵇ 1158ᵇ 3. ἀντικαταλλάττονται Lᵇ 4. δὲ καὶ Lᵇ Γ: δ' vulg. αὗται Kᵇ: αὖται αἱ Mᵇ: αἱ τοιαῦται Lᵇ 5. καὶ om. Kᵇ

3 πάντα νῦν οὐδὲν ἐπιτελεῖ. συμβαίνει δὲ τὰ τοιαῦτα, ἐπειδὰν ὁ μὲν δι' ἡδονὴν τὸν ἐρώμενον φιλῇ, ὁ δὲ διὰ τὸ χρήσιμον τὸν ἐραστήν, ταῦτα δὲ μὴ ἀμφοῖν ὑπάρχῃ. διὰ ταῦτα γὰρ τῆς φιλίας οὔσης διάλυσις γίνεται, ἐπειδὰν μὴ γίνηται ὧν ἕνεκα ἐφίλουν· οὐ γὰρ αὐτοὺς ἔστεργον ἀλλὰ
τὰ ὑπάρχοντα, οὐ μόνιμα ὄντα· διὸ τοιαῦται καὶ αἱ φιλίαι. ἡ δὲ τῶν ἠθῶν καθ' αὑτὴν οὖσα μένει, καθάπερ εἴρη-
4 ται. διαφέρουται δ' ὅταν ἕτερα γίνηται αὐτοῖς καὶ μὴ ὧν ὀρέγονται· ὅμοιον γὰρ τῷ μηδὲν γίνεσθαι, ὅταν οὗ ἐφίεται μὴ τυγχάνῃ, οἷον καὶ τῷ κιθαρῳδῷ ὁ ἐπαγγελλόμενος, καὶ ὅσῳ ἄμεινον ᾄσειεν, τοσούτῳ πλείω· εἰς ἕω δ' ἀπαιτοῦντι τὰς ὑποσχέσεις ἀνθ' ἡδονῆς ἡδονὴν ἀποδεδωκέναι ἔφη. εἰ μὲν οὖν ἑκάτερος τοῦτο ἐβούλετο, ἱκανῶς ἂν εἶχεν· εἰ δ' ὁ μὲν τέρψιν ὁ δὲ κέρδος, καὶ ὁ μὲν ἔχει ὁ δὲ μή, οὐκ ἂν εἴη τὰ κατὰ τὴν κοινωνίαν καλῶς· ὧν γὰρ δεόμενος τυγχάνει, τούτοις καὶ προσέχει, κἀκείνου
5 γε χάριν ταῦτα δώσει. τὴν ἀξίαν δὲ ποτέρου τάξαι ἐστί, τοῦ προϊεμένου ἢ τοῦ προλαβόντος; ὁ γὰρ προϊέμενος ἔοικ' ἐπιτρέπειν ἐκείνῳ. ὅπερ φασὶ καὶ Πρωταγόραν ποιεῖν· ὅτε γὰρ διδάξειεν ἀδήποτε, τιμῆσαι τὸν μαθόντα ἐκέλευεν ὅσου δοκεῖ ἄξια ἐπίστασθαι, καὶ ἐλάμβανε τοσοῦτον. ἐν

1164ᵃ 1. καὶ add. L^b Γ 10. γένηται K^b αὐτοὺς ed. Bekker 13. δ' K^b: δὲ καὶ vulg. 14. τοῦ K^b 20. τὰ K^b: τὸ vulg. 23. fort. προλαμβάνοντος 25. μανθάνοντα L^b

kunduracının, yaptığı ayakkabılar karşılığında değere göre bir karşılık almasına ya da terzi ve ötekiler için de söz konusu olan şeye benzer bu. Bunun için ortak bir ölçü olarak 1164a 'para' belirlenmiştir; herşey ona çevrilir, onunla ölçülür. Aşkta ise kimi kez seven, kendisi çok sevmesine karşın, sanki kendisinin hiç sevilecek yanı yokmuş gibi karşılık görmediğinden yakınır. Çoğu kez de sevilen, önce her söz verilmişken, şimdi hiçbiri yerine gelmiyor, diye yakınır. Bunlar, biri haz nedeniyle sevileni, öteki de yarar nedeniyle seveni severse ve herikisi de artık bunları elde etmezse ortaya çıkar. İmdi bunlar nedeniyle kurulmuş dostluklarda, ne için seviyorlardıysa o oluşmayınca çözülme oluyor; çünkü birbirlerini değil, kalıcı olmayan çıkarları seviyorlardı, bunun için bu tür dostluklar kalıcı olmaz. Oysa sözünü ettiğimiz, karakterler, alışkanlıklar üzerine kurulmuş dostluk, 'kendi başına' olmasıyla kalıcı: Onların istediklerinden değişik şeyler oluştuğunda ise görüş farklılıkları ortaya çıkıyor.

Aradığını elde etmeyince, sanki hiçbir şey elde etmemiş gibi oluyor. Bu şuna benzer: Gitarcıya ne denli iyi çalarsa o denli çok ücret sözü verilmiştir; ertesi gün sözün yerine getirilmesini istediğinde ona, hazza karşılık haz elde ettiği yanıtı verilmiştir. İmdi herikisi de bunu istemiş olsaydı bu yeterdi ama biri eğlenceyi öteki kazancı arıyor; biri istediğini elde edip öteki etmeyince onların ilişkisi bakımından bu yerinde olmasa gerek, çünkü neye gereksinim varsa ona bakılır, onun için verilecek şey verilir. Ne ki, değeri belirlemek kime düşer; alana mı, verene mi? Veren ötekine güveniyor gibi görünüyor. Bu Protagoras'ın yaptığını söyledikleri gibi:[73] O birine bir şey öğrettiğinde, öğrencinin, bilgisinin değeri kendisine göre ne kadarsa o kadar ödemesini ister ve o kadar alırmış.

τοῖς τοιούτοις δ' ἐνίοις ἀρέσκει τὸ "μισθὸς δ' ἀνδρί." οἱ δὲ 6
προλαμβάνοντες τὸ ἀργύριον, εἶτα μηδὲν ποιοῦντες ὧν ἔφα-
σαν διὰ τὰς ὑπερβολὰς τῶν ἐπαγγελιῶν, εἰκότως ἐν ἐγ-
κλήμασι γίνονται· οὐ γὰρ ἐπιτελοῦσιν ἃ ὡμολόγησαν. τοῦτο 7
δ' ἴσως ποιεῖν οἱ σοφισταὶ ἀναγκάζονται διὰ τὸ μηδένα ἂν
δοῦναι ἀργύριον ὧν ἐπίστανται. οὗτοι μὲν οὖν ὧν ἔλαβον τὸν
μισθόν, μὴ ποιοῦντες εἰκότως ἐν ἐγκλήμασίν εἰσιν. ἐν οἷς
δὲ μὴ γίνεται διομολογία τῆς ὑπουργίας, οἱ μὲν δι' αὐτοὺς
προϊέμενοι εἴρηται ὅτι ἀνέγκλητοι (τοιαύτη γὰρ ἡ κατ'
1164 b ἀρετὴν φιλία), τὴν ἀμοιβὴν τε ποιητέον κατὰ τὴν προαί-
ρεσιν (αὕτη γὰρ τοῦ φίλου καὶ τῆς ἀρετῆς)· οὕτω δ' ἔοικε
καὶ τοῖς φιλοσοφίας κοινωνήσασιν· οὐ γὰρ πρὸς χρήμαθ'
ἡ ἀξία μετρεῖται, τιμή τ' ἰσόρροπος οὐκ ἂν γένοιτο, ἀλλ'
ἴσως ἱκανόν, καθάπερ καὶ πρὸς θεοὺς καὶ πρὸς γονεῖς, τὸ
ἐνδεχόμενον. μὴ τοιαύτης δ' οὔσης τῆς δόσεως ἀλλ' ἐπί 8
τινι, μάλιστα μὲν ἴσως δεῖ τὴν ἀνταπόδοσιν γίνεσθαι δο-
κοῦσαν ἀμφοῖν κατ' ἀξίαν εἶναι, εἰ δὲ τοῦτο μὴ συμβαίνοι,
οὐ μόνον ἀναγκαῖον δόξειεν ἂν τὸν προέχοντα τάττειν,
ἀλλὰ καὶ δίκαιον· ὅσον γὰρ οὗτος ὠφελήθη ἢ ἀνθ' ὅσου
τὴν ἡδονὴν εἵλετ' ἄν, τοσοῦτον ἀντιλαβὼν ἔξει τὴν παρὰ
τούτου ἀξίαν. καὶ γὰρ ἐν τοῖς ὠνίοις οὕτω φαίνεται γινόμε-
νον, ἐνιαχοῦ τ' εἰσὶ νόμοι τῶν ἑκουσίων συμβολαίων δίκας 9
μὴ εἶναι, ὡς δέον, ᾧ ἐπίστευσε, διαλυθῆναι πρὸς τοῦτον
καθάπερ ἐκοινώνησεν. ᾧ γὰρ ἐπετράφθη, τοῦτον οἴεται δι-
καιότερον εἶναι τάξαι τοῦ ἐπιτρέψαντος. τὰ πολλὰ γὰρ οὐ
τοῦ ἴσου τιμῶσιν οἱ ἔχοντες καὶ οἱ βουλόμενοι λαβεῖν· τὰ
γὰρ οἰκεῖα καὶ ἃ διδόασιν ἑκάστοις φαίνεται πολλοῦ ἄξια·

---

27. ἀρκεῖ M^b Γ post ἀνδρί add. ἄρκιος ἔστω L^b M^b (in K^b lacuna)
28. προλαβόντες M^b 34. αὐτοὺς Bonitz : αὑτοὺς codd. 1164b 5. ἴσως ὁ ἱκανόν K^b Γ καὶ post καθάπερ om. K^b Γ 10. γὰρ] γὰρ ἂν K^b Γ

Bu tür durumlarda kiminin hoşuna giden "adamına göre ücret".[74] Öte yandan önce para alan, sonra da abarta abarta verdiği sözlerden hiçbirini yerine getirmeyenler haklı olarak suçlanır. Çünkü onlar anlaşmalarını yerine getirmiyor. - Belki de bildikleri şeyler için hiç para verilemeyecek sofistler böyle yapmak zorunda kalıyor.- İmdi bunların, ücretini aldıkları şeyi yapmayınca suçlanmaları haklı. Aralarında görev dağılımı belirlenmemiş olanlar içinde, kendileri nedeniyle verenlerin suçlanmadığını söylemiştik (erdeme dayanan dostluk böyle). Burada tercihe göre karşılık vermek gerekir (budur dosta ve erdeme yakışan). Öyle geliyor ki, felsefe yapmak için biraraya gelenler için de böyle olmalı: Burada değer, para ile ölçülemez ve ona eşdeğerde bir onur da olmasa gerek. Ama belki tanrılar ve ana-babalar için olduğu gibi, olanaklı olan yeterli. Buna karşın verme böyle değil de bir amaç içinse, belki de bu durumda karşılığın her iki tarafca saptanan değere göre olması gerekiyor. Eğer bu gerçekleşmezse ilk alanın karşılığı belirlemesi yalnız zorunlu değil, aynı zamanda adildir gibi görünüyor. Nitekim biri ötekinin yarar sağladığı ya da haz aldığı ölçüde alırsa bunun değerinde bir karşılık almış olacaktır. Alışverişlerde de böyle olduğu görünüyor. Kimi yerlerde "isteyerek yapılan sözleşmeler için dava olmaz, birine güvenildiğinde ilişki ne şekilde oluşmuşsa o şekilde uzlaşsınlar" diyen yasalar var. Ücret belirlemesini, veren değil, güvenilen kişi yaparsa daha adil olur diye düşünülür. Çünkü çoğu kez bir şeye sahip olanlar ile onu elde etmek isteyenler eş değer biçmez ona. Herbir kişi için kendilerine ait şeyler ve verdikleri şeyler daha değerlidir.

ἀλλ' ὅμως ἡ ἀμοιβὴ γίνεται πρὸς τοσοῦτον ὅσον ἂν τάττωσιν οἱ λαμβάνοντες. δεῖ δ' ἴσως οὐ τοσούτου τιμᾶν ὅσου ἔχοντι φαίνεται ἄξιον, ἀλλ' ὅσου πρὶν ἔχειν ἐτίμα.

II. Ἀπορίαν δ' ἔχει καὶ τὰ τοιαῦτα, οἷον πότερον δεῖ πάντα τῷ πατρὶ ἀπονέμειν καὶ πείθεσθαι, ἢ κάμνοντα μὲν ἰατρῷ πιστεύειν, στρατηγὸν δὲ χειροτονητέον τὸν πολεμικόν· ὁμοίως δὲ φίλῳ μᾶλλον ἢ σπουδαίῳ ὑπηρετητέον, καὶ εὐεργέτῃ ἀνταποδοτέον χάριν μᾶλλον ἢ ἑταίρῳ προετέον, 2 ἐὰν ἄμφω μὴ ἐνδέχηται. ἆρ' οὖν πάντα τὰ τοιαῦτα ἀκριβῶς μὲν διορίσαι οὐ ῥᾴδιον; πολλὰς γὰρ καὶ παντοίας ἔχει διαφορὰς καὶ μεγέθει καὶ μικρότητι καὶ τῷ καλῷ καὶ 3 ἀναγκαίῳ. ὅτι δ' οὐ πάντα τῷ αὐτῷ ἀποδοτέον, οὐκ ἄδηλον· καὶ τὰς μὲν εὐεργεσίας ἀνταποδοτέον ὡς ἐπὶ τὸ πολὺ μᾶλλον ἢ χαριστέον ἑταίροις, ὥσπερ καὶ δάνειον ᾧ ὀφεί- 4 λει ἀποδοτέον μᾶλλον ἢ ἑταίρῳ δοτέον. ἴσως δ' οὐδὲ τοῦτ' ἀεί, οἷον τῷ λυτρωθέντι παρὰ λῃστῶν πότερα τὸν λυσάμενον ἀντιλυτρωτέον, κἂν ὁστισοῦν ᾖ, ἢ μὴ ἐαλωκότι ἀπαιτοῦντι δὲ ἀποδοτέον, ἢ τὸν πατέρα λυτρωτέον; δόξειε 1165ᵃ 5 γὰρ ἂν καὶ ἑαυτοῦ μᾶλλον τὸν πατέρα. ὅπερ οὖν εἴρηται, καθόλου μὲν τὸ ὀφείλημα ἀποδοτέον, ἐὰν δ' ὑπερτείνῃ ἡ δόσις τῷ καλῷ ἢ τῷ ἀναγκαίῳ, πρὸς ταῦτ' ἀποκλιτέον. ἐνίοτε γὰρ οὐδ' ἐστὶν ἴσον τὸ τὴν προϋπαρχὴν ἀμείψασθαι, 5 ἐπειδὰν ὁ μὲν σπουδαῖον εἰδὼς εὖ ποιήσῃ, τῷ δὲ ἡ ἀνταπόδοσις γίνηται ὃν οἴεται μοχθηρὸν εἶναι. οὐδὲ γὰρ τῷ δανείσαντι ἐνίοτε ἀντιδανειστέον· ὁ μὲν γὰρ οἰόμενος κομιεῖσθαι ἐδάνεισεν ἐπιεικεῖ ὄντι, ὁ δ' οὐκ ἐλπίζει κομιεῖσθαι παρὰ πονηροῦ. εἴτε τοίνυν τῇ ἀληθείᾳ οὕτως ἔχει, οὐκ ἴσον 10

---

20. λαβόντες M^b 22. τοιάδε M^b 24. πιστευτέον L^b: πειστέον M^b Γ 26. προετέον K^b: δοτέον vulg. 27. ἄμφω K^b: ἀμφοῖν vulg. 32. ὅσπερ καὶ Argyropylus: ὅσπερ K^b: καὶ ὅσπερ vulg.
35. ἢ] ἢ καὶ Aldina

Ne ki, gene de karşılık, alan kişilerin belirlediği kadar olmalı. Ama belki de bir şeye sahip olan kişiye görünen değerle değil, bu kişinin buna sahip olmadan önce biçtiği değerle ölçmek gerekir.

Şu tür sorunlar da var: Herşeyi babaya mı bırakmalı, ona hepten boyun mu eğmeli; hastalıkta doktora, savaşla ilgili işlerde komutana mı güvenmeli? Yine erdemli bir adam yerine bir dosta mı yardım etmeli? Herikisi birarada olanaklı değilse, bir arkadaşa yardım etmektense, kendine yardım eden birine mi karşılık vermeli? Acaba bütün bunları kesince belirlemek kolay değil mi? Aslında büyüklük, küçüklük, güzellik, zorunluluk açılarından her çeşitten pek çok farklılıklar var. Herşeyi aynı kişiye vermemek gerektiği açık. Nasıl ödünç alınan şey arkadaştan önce borçlu olunan kişiye verilmeliyse, arkadaşları hoşnut etmek yerine iyilik yapanlara karşılık vermeli. Ama belki de her zaman böyle yapmak gerekmeyebilir: Örneğin kendisini kaçıranlarca fidye istenen biri, kim olursa olsun kim kendini kurtardıysa, o kaçırıldığında onun mu fidyesini ödemeli; beriki kaçırılmamışsa ama fidye karşılığını istemişse ona hemen parayı vermeli mi, yoksa önce babasınının mı fidyesini ödemeli? Daha çok kendi babasını kurtarması gerekir, diye düşünülebilir. İmdi dediğimiz gibi, genellikle borç geri verilmeli; verilen, güzellik ve zorunluluk açısından üstün bir şey ise, karşılık buna göre olmalı, nitekim kimi zaman görülen iyiliğin karşılığı eşit olmayabiliyor: Erdemli biri olduğunu bilerek ona iyilik yapılan birine, onun kötü olduğunu düşünerek karşılık verilebilir. Kimi zaman da verene karşılık vermek gerekmeyebilir: Biri doğru kişi olduğu için geri geleceğini düşünerek vermiştir, öteki onu kötü sandığı için ondan geri geleceğini ummamaktadır; durum gerçekten böyle ise

τὸ ἀξίωμα· εἶτ' ἔχει μὲν μὴ οὕτως οἴονται δέ, οὐκ ἂν δό-
ξαιεν ἄτοπα ποιεῖν. ὅπερ οὖν πολλάκις εἴρηται, οἱ περὶ τὰ 6
πάθη καὶ τὰς πράξεις λόγοι ὁμοίως ἔχουσι τὸ ὡρισμένον
τοῖς περὶ ἃ εἰσιν. ὅτι μὲν οὖν οὐ ταὐτὰ πᾶσιν ἀποδοτέον,
οὐδὲ τῷ πατρὶ πάντα, καθάπερ οὐδὲ τῷ Διὶ θύεται, οὐκ
ἄδηλον· ἐπεὶ δ' ἕτερα γονεῦσι καὶ ἀδελφοῖς καὶ ἑταίροις 7
καὶ εὐεργέταις, ἑκάστοις τὰ οἰκεῖα καὶ τὰ ἁρμόττοντα
ἀπονεμητέον. οὕτω δὲ καὶ ποιεῖν φαίνονται· εἰς γάμους
μὲν γὰρ καλοῦσι τοὺς συγγενεῖς· τούτοις γὰρ κοινὸν τὸ γένος
καὶ αἱ περὶ τοῦτο δὴ πράξεις· καὶ εἰς τὰ κήδη δὲ μάλιστ'
οἴονται δεῖν τοὺς συγγενεῖς ἀπαντᾶν διὰ ταὐτό. δόξειε δ' 8
ἂν τροφῆς μὲν γονεῦσι δεῖν μάλιστ' ἐπαρκεῖν, ὡς ὀφείλον-
τας, καὶ τοῖς αἰτίοις τοῦ εἶναι κάλλιον ὂν ἢ ἑαυτοῖς εἰς
ταὐτ' ἐπαρκεῖν· καὶ τιμὴν δὲ γονεῦσι καθάπερ θεοῖς, οὐ
πᾶσαν δέ· οὐδὲ γὰρ τὴν αὐτὴν πατρὶ καὶ μητρί, οὐδ' αὖ
τὴν τοῦ σοφοῦ ἢ τὴν τοῦ στρατηγοῦ, ἀλλὰ τὴν πατρικήν,
ὁμοίως δὲ καὶ μητρικήν. καὶ παντὶ δὲ τῷ πρεσβυτέρῳ τιμὴν 9
καθ' ἡλικίαν, ὑπαναστάσει καὶ κατακλίσει καὶ τοῖς τοιού-
τοις· πρὸς ἑταίρους δ' αὖ καὶ ἀδελφοὺς παρρησίαν καὶ
ἁπάντων κοινότητα. καὶ συγγενέσι δὲ καὶ φυλέταις καὶ
πολίταις καὶ τοῖς λοιποῖς ἅπασιν ἀεὶ πειρατέον τὸ οἰκεῖον
ἀπονέμειν, καὶ συγκρίνειν τὰ ἑκάστοις ὑπάρχοντα κατ'
οἰκειότητα καὶ ἀρετὴν ἢ χρῆσιν. τῶν μὲν οὖν ὁμογενῶν ῥᾴων 10
ἡ σύγκρισις, τῶν δὲ διαφερόντων ἐργωδεστέρα. οὐ μὴν διά
γε τοῦτο ἀποστατέον, ἀλλ' ὡς ἂν ἐνδέχηται, οὕτω διοριστέον.

3 Ἔχει δ' ἀπορίαν καὶ περὶ τοῦ διαλύεσθαι τὰς φιλίας III.

1165ᵃ 11. *δόξειεν* M^b Γ 23. *ὂν* add. L^b 24. *τιμὰς* K^b *γο-
νεῦσι* om. L^b Γ 25. *δέ*] *δὲ γονεῦσιν* L^b M^b Γ 26. *τὴν* post *ἢ*
add. K^b 27. *καὶ τὴν μητρικήν* L^b M^b *δὴ* K^b 28. *καθ'* K^b:
τὴν καθ' vulg. *ὑπαναστάσει ἢ καὶ* K^b 30. *δὲ* M^b Γ: *δὴ* vulg.
34. *σύγκρισις* Ruelle : *κρίσις* codd.

değerlendirme eşit değil; ama durum böyle değilse, yalnızca onlar böyle olduğunu sanmışlarsa anlamsız davranıyorlar gibi görünmese gerek. Demek ki, sık sık söylediğimiz gibi, tutkular ve eylemler konusundaki temellendirmeler bağlı oldukları koşullara göre belirleme taşımalı. İmdi herkese aynı şeyleri vermemeli; her şeyin Zeus için kurban edilmemesi gerektiği gibi, her şeyi de babaya bırakmamalı, bu açık. Ana-babaya, kardeşe, arkadaşa, iyilik yapana farklı şeyler vermek gerekir, herbiri için ona yakışan, uyan şeyler. Kaldı ki, böyle yapıldığı görünüyor: Düğünlere akrabalar çağrılıyor, çünkü bunlar için soy ortak, soyu ilgilendiren eylemler de ortak olacaktır; aynı nedenle cenazelere en çok akrabaların katılması gerekir, diye düşünülür. Öyle görünüyor ki, özellikle ana-babaya destek olmalı, çünkü onlara borçluyuz, varoluşumuzun nedeni olan kişilere destek olmak, kendimize yarar sağlamaktan daha güzel. Tanrıları olduğu gibi, ana-babayı da saymalı; ama her saygı aynı değil: Bir anaya gösterilen saygı ile bir babaya gösterilen saygı aynı olmaz, bir bilgeye, bir komutana gösterilen saygı da. Babaya uyan, anaya uyan var, her yaşlıya yaşına uyan saygı gösterilmeli: Ayağa kalkma, yer verme vb. Yine arkadaşlar ve kardeşler arasında sırdaşlık, her şeyde ortaklık olmalı. Akrabalara, aşiret üyelerine, yurttaşlara ve başka insanlara uygun olanı vermeye, herbiri için yakınlığa, erdeme ya da ilişkilere göre değerlendirme yapmaya çalışmalı. Aynı soydan gelenler arasında bu değerlendirme daha kolay, farklı soydan olanlar arasında daha zor. Ne ki, bu yüzden işten kaçmamalı, olabildiğince belirlemeli.

Aynı kalmayan kişilerle dostluk bozulmalı mı, bozulmamalı

ἢ μὴ πρὸς τοὺς μὴ διαμένοντας. ἢ πρὸς μὲν τοὺς διὰ τὸ 1165ᵇ
χρήσιμον ἢ τὸ ἡδὺ φίλους ὄντας, ὅταν μηκέτι ταῦτ' ἔχω-
σιν, οὐδὲν ἄτοπον διαλύεσθαι ; ἐκείνων γὰρ ἦσαν φίλοι· ὧν
ἀπολιπόντων εὔλογον τὸ μὴ φιλεῖν. ἐγκαλέσειε δ' ἄν τις,
εἰ διὰ τὸ χρήσιμον ἢ τὸ ἡδὺ ἀγαπῶν προσεποιεῖτο διὰ 5
τὸ ἦθος. ὃ γὰρ ἐν ἀρχῇ εἴπομεν, πλεῖσται διαφοραὶ
γίνονται τοῖς φίλοις, ὅταν μὴ ὁμοίως οἴωνται καὶ ὦσι
2 φίλοι. ὅταν μὲν οὖν διαψευσθῇ τις καὶ ὑπολάβῃ φιλεῖ-
σθαι διὰ τὸ ἦθος, μηδὲν τοιοῦτον ἐκείνου πράττοντος, ἑαυτὸν
αἰτιᾶτ' ἄν· ὅταν δ' ὑπὸ τῆς ἐκείνου προσποιήσεως ἀπατηθῇ, 10
δίκαιον ἐγκαλεῖν τῷ ἀπατήσαντι, καὶ μᾶλλον ἢ τοῖς τὸ
νόμισμα κιβδηλεύουσιν, ὅσῳ περὶ τιμιώτερον ἡ κακουργία.
3 ἐὰν δ' ἀποδέχηται ὡς ἀγαθόν, γένηται δὲ μοχθηρὸς καὶ
δοκῇ, ἆρ' ἔτι φιλητέον ; ἢ οὐ δυνατόν, εἴπερ μὴ πᾶν φιλη-
τὸν ἀλλὰ τἀγαθόν ; οὔτε δὲ φιλητὸν ⟨τὸ⟩ πονηρὸν οὔτε δεῖ· 15
φιλοπόνηρον γὰρ οὐ χρὴ εἶναι, οὐδ' ὁμοιοῦσθαι φαύλῳ· εἴρη-
ται δ' ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον. ἆρ' οὖν εὐθὺς διαλυ-
τέον ; ἢ οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀνιάτοις κατὰ τὴν μοχθηρίαν ;
ἐπανόρθωσιν δ' ἔχουσι μᾶλλον βοηθητέον εἰς τὸ ἦθος ἢ τὴν
οὐσίαν, ὅσῳ βέλτιον καὶ τῆς φιλίας οἰκειότερον. δόξειε δ' 20
ἂν ὁ διαλυόμενος οὐδὲν ἄτοπον ποιεῖν· οὐ γὰρ τῷ τοιούτῳ
φίλος ἦν· ἀλλοιωθέντα οὖν ἀδυνατῶν ἀνασῶσαι ἀφίσταται.
4 εἰ δ' ὁ μὲν διαμένοι ὁ δ' ἐπιεικέστερος γίνοιτο καὶ πολὺ
διαλλάττοι τῇ ἀρετῇ, ἆρα χρηστέον φίλῳ ; ἢ οὐκ ἐνδέχεται ;
ἐν μεγάλῃ δὲ διαστάσει μάλιστα δῆλον γίνεται, οἷον ἐν 25
ταῖς παιδικαῖς φιλίαις· εἰ γὰρ ὁ μὲν διαμένοι τὴν διά-
νοιαν παῖς ὁ δ' ἀνὴρ εἴη οἷος κράτιστος, πῶς ἂν εἶεν φίλοι
μήτ' ἀρεσκόμενοι τοῖς αὐτοῖς μήτε χαίροντες καὶ λυπού-

1165ᵇ 6. ὅπερ M^b 13. fort. γίνηται 15. φιλητὸν ⟨τὸ⟩ Stahr: φιλητέον codd. 21. τῷ] τούτῳ ἢ K^b M^b Γ 23. γένοιτο L^b

mı, bu da sorun. Acaba yarar ya da hoşluk nedeniyle dost olanlarla ilgili olarak, bu artık elde edilmeyince, dostluğun bozulması hiç garip değil mi? Çünkü bunlar için dost idiler, bunlar ortadan kalkınca dost da olmamak akla uygun. Yarar ya da hoşluk nedeniyle seven birinin, karakteri için seviyormuş gibi göründüğünden yakınılabilir, çünkü başta dediğimiz gibi, en çok farklılıklar, dost olduklarına inandıkları biçimde dost olmayan kişiler arasında oluşuyor. Demek biri, karşısındaki hiç de böyle davranmazken, yanılıp da karakteri için sevildiğine inanırsa, kendini suçlasın; ama öteki yapmacık davrandığı için aldanmışsa aldatanı suçlaması haklı. Üstelik daha değerli bir şeyle ilgili kötü bir eylem olduğundan, onu para ile ilgili hile yapandan daha çok suçlasın. İyi bir kişi olarak kabul ediliyorsa, kötü olunca ya da böyle görününce hala dost kalmalı mı? Acaba her şey değil, ama iyi olan sevilir olduğundan ötürü, bu olanaksız mı? Kötü olan, ne sevilir bir şey ne de onu sevmek gerekir. Kötü kişiyle dost olmamalı, kötü kişiye benzememeli; kaldı ki, benzerin benzeriyle dost olduğunu söylemiştik. İmdi hemen mi kesmeli dostluğu? Yoksa herkesle değil, yalnızca kötülükleri açısından iyileşmeyecek kişilerle mi? En çok düzeltilebilecek kişilere etik ya da maddi yardım sağlanmalı, çünkü bu daha iyi ve dostluğa daha çok yakışır. Yine de dostluğu kesen kişi hiç de anlamsız davranmıyor gibi geliyor, çünkü onunla böyle biri olduğu için dost değildi. Demek ki, değişen kişiyle dostluğu yürütmek olanaksız olunca ayrılınır. Öte yandan dostlardan biri aynı kalır, öteki daha doğru olursa ve erdemce farklılık çoğalırsa dostluk korunmalı mı? Yoksa olanaksız mı? Bu durum, en çok, farklılık büyük olunca açıklık kazanıyor, sözgelişi çocukluktaki dostluklarda. Biri kafaca çocuk kalır, öteki olabildiğince güçlü bir "adam" olursa, aynı şeylerden hoşlanmayıp, aynı şeylerden haz ve acı duymadıklarına göre, nasıl dost

1165b

μενοι; οὐδὲ γὰρ περὶ ἀλλήλους ταῦθ' ὑπάρξει αὐτοῖς, ἄνευ
30 δὲ τούτων οὐκ ἦν φίλους εἶναι· συμβιοῦν γὰρ οὐχ οἷόν
τε. εἴρηται δὲ περὶ τούτων. ἆρ' οὖν οὐθὲν ἀλλοιότερον πρὸς 5
αὐτὸν ἐκτέον ἢ εἰ μὴ ἐγεγόνει φίλος μηδέποτε; ἢ δεῖ
μνείαν ἔχειν τῆς γενομένης συνηθείας, καὶ καθάπερ φίλοις
μᾶλλον ἢ ὀθνείοις οἰόμεθα δεῖν χαρίζεσθαι, οὕτω καὶ τοῖς
35 γενομένοις ἀπονεμητέον τι διὰ τὴν προγενομένην φιλίαν,
ὅταν μὴ δι' ὑπερβολὴν μοχθηρίας διάλυσις γένηται.

1166ᵃ Τὰ φιλικὰ δὲ τὰ πρὸς τοὺς πέλας, καὶ οἷς αἱ φιλίαι IV.
4 ὁρίζονται, ἔοικεν ἐκ τῶν πρὸς ἑαυτὸν ἐληλυθέναι. τι-
θέασι γὰρ φίλον τὸν βουλόμενον καὶ πράττοντα τἀγαθὰ
ἢ τὰ φαινόμενα ἐκείνου ἕνεκα, ἢ τὸν βουλόμενον εἶναι καὶ
5 ζῆν τὸν φίλον αὐτοῦ χάριν· ὅπερ αἱ μητέρες πρὸς τὰ τέκ-
να πεπόνθασι, καὶ τῶν φίλων οἱ προσκεκρουκότες. οἱ δὲ
τὸν συνδιάγοντα καὶ ταὐτὰ αἱρούμενον, ἢ τὸν συναλγοῦντα
καὶ συγχαίροντα τῷ φίλῳ· μάλιστα δὲ καὶ τοῦτο περὶ
τὰς μητέρας συμβαίνει. τούτων δέ τινι καὶ τὴν φιλίαν
10 ὁρίζονται. πρὸς ἑαυτὸν δὲ τούτων ἕκαστον τῷ ἐπιεικεῖ ὑπάρ- 2
χει (τοῖς δὲ λοιποῖς, ᾗ τοιοῦτοι ὑπολαμβάνουσιν εἶναι·
ἔοικε δέ, καθάπερ εἴρηται, μέτρον ἑκάστων ἡ ἀρετὴ καὶ
ὁ σπουδαῖος εἶναι)· οὗτος γὰρ ὁμογνωμονεῖ ἑαυτῷ, καὶ τῶν 3
αὐτῶν ὀρέγεται κατὰ πᾶσαν τὴν ψυχήν· καὶ βούλεται
15 δὴ ἑαυτῷ τἀγαθὰ καὶ τὰ φαινόμενα καὶ πράττει (τοῦ
γὰρ ἀγαθοῦ τἀγαθὸν διαπονεῖν) καὶ ἑαυτοῦ ἕνεκα (τοῦ
γὰρ διανοητικοῦ χάριν, ὅπερ ἕκαστος εἶναι δοκεῖ)· καὶ ζῆν
δὲ βούλεται ἑαυτὸν καὶ σῴζεσθαι, καὶ μάλιστα τοῦτο ᾧ
φρονεῖ. ἀγαθὸν γὰρ τῷ σπουδαίῳ τὸ εἶναι, ἕκαστος δ' 4

---

35. τι om. K^b προγεγενημένην L^b 36. διάλυσις] ἡ διάλυσις N^b Heliodorus 1166ᵃ 1. πέλας] φίλους πέλας K^b: φίλους vulg. 2. αὐτὸν K^b 6. καὶ—προσκεκρουκότες seclus. Ramsauer οἱ] οἱ μὴ L^b 12. δὲ K^b M^b: γὰρ L^b Γ ἑκάστων K^b: ἑκάστῳ vulg.

kalabilirler? Nitekim biribirleri için bunlar aynı şeyler olmayacak, bunlar olmayınca dostluk da olmayacaktır. Çünkü yaşam paylaşılamaz artık. Ama bunlardan söz etmiştik. İmdi bu durumda, hiç tanışmamış olsalardı, yapılabilecek olan başka bir şey de mi yapılmamalı? Yoksa geçmişteki yakınlığın anısını korumalı mı, nasıl yabancılardan çok dostlardan hoşlanmak gerektiğini düşünüyorsak, aşırı bir kötülük yüzünden kopma olmamışsa, önceki dostluk adına bize dost olanlara bir şeyler ayırmalı mı?

Yakınlarla ilgili sevilir şeyler, dostlukları belirleyen şeyler kendimizle ilgili olanlara bağlı görünüyor. İnsanlar iyi şeyleri ya da dost için böyle görünenleri isteyen ve yapan kişiyi; ya da dostun varolmasını, yaşamasını sırf onun adına isteyen kişiyi dost sayar. Yani annelerin çocukları için, ayrı düşen dostların biribirleri için duydukları gibi. Kimileri de birlikte yaşayan ve aynı şeyleri tercih eden; ya da dostla birlikte neşelenen, acı duyan kişiyi dost sayar. En çok anneler için böyle oluyor. Dostluğu da bunlardan birine göre belirliyorlar. İmdi bunlardan herbiri doğru kişide kendisiyle ilgili olarak bulunur (başka kişilerde ise böyle olduklarını varsaydıkları için: Dediğimiz gibi, öyle görünüyor ki, her birinin ölçüsü erdem ve erdemli kişi). O kendiyle uyumludur, ruhunun bütünü aynı şeylere iştah duyar. İyi olanları ve böyle görünenleri kendisi için ister, yapar (iyiyi aramak iyi kişinin işi), ve bu kendi adınadır (herbirimizi o kişi kılan düşünceyle ilgili yanı adına). Kendisinin yaşamasını, korunmasını ister; düşündüğü şey en çok bu olur, çünkü erdemli kişi için varolmak iyi bir şeydir. Her kişi iyi olanları

ἑαυτῷ βούλεται τἀγαθά, γενόμενος δ' ἄλλος αἱρεῖται οὐ- 20
δεὶς πάντ' ἔχειν [ἐκεῖνο τὸ γενόμενον] (ἔχει γὰρ καὶ νῦν ὁ
θεὸς τἀγαθόν) ἀλλ' ὧν ὅ τι ποτ' ἐστίν· δόξειε δ' ἂν τὸ νοοῦν
5 ἕκαστος εἶναι ἢ μάλιστα. συνδιάγειν τε ὁ τοιοῦτος ἑαυτῷ
βούλεται· ἡδέως γὰρ αὐτὸ ποιεῖ· τῶν τε γὰρ πεπραγμέ-
νων ἐπιτερπεῖς αἱ μνῆμαι, καὶ τῶν μελλόντων ἐλπίδες 25
ἀγαθαί, αἱ τοιαῦται δ' ἡδεῖαι. καὶ θεωρημάτων δ' εὐπορεῖ
τῇ διανοίᾳ. συναλγεῖ τε καὶ συνήδεται μάλισθ' ἑαυτῷ·
πάντοτε γάρ ἐστι τὸ αὐτὸ λυπηρόν τε καὶ ἡδύ, καὶ οὐκ
ἄλλοτ' ἄλλο· ἀμεταμέλητος γὰρ ὡς εἰπεῖν. τῷ δὴ πρὸς
αὐτὸν ἕκαστα τούτων ὑπάρχειν τῷ ἐπιεικεῖ, πρὸς δὲ 30
τὸν φίλον ἔχειν ὥσπερ πρὸς αὐτόν (ἔστι γὰρ ὁ φίλος
ἄλλος αὐτός), καὶ ἡ φιλία τούτων εἶναί τι δοκεῖ, καὶ
6 φίλοι οἷς ταῦθ' ὑπάρχει. πρὸς αὐτὸν δὲ πότερον ἔστιν ἢ
οὐκ ἔστι φιλία, ἀφείσθω ἐπὶ τοῦ παρόντος· δόξειε δ' ἂν
ταύτῃ εἶναι φιλία, ᾗ ἐστὶ δύο ἢ πλείω, ἐκ τῶν εἰρημέ- 35
νων, καὶ ὅτι ἡ ὑπερβολὴ τῆς φιλίας τῇ πρὸς αὐτὸν ὁμοιοῦ- 1166ᵇ
7 ται. φαίνεται δὲ τὰ εἰρημένα καὶ τοῖς πολλοῖς ὑπάρχειν,
καίπερ οὖσι φαύλοις. ἆρ' οὖν ᾗ τ' ἀρέσκουσιν ἑαυτοῖς καὶ
ὑπολαμβάνουσιν ἐπιεικεῖς εἶναι, ταύτῃ μετέχουσιν αὐτῶν;
ἐπεὶ τῶν γε κομιδῇ φαύλων καὶ ἀνοσιουργῶν οὐδενὶ ταῦθ' 5
8 ὑπάρχει, ἀλλ' οὐδὲ φαίνεται. σχεδὸν δὲ οὐδὲ τοῖς φαύ-
λοις· διαφέρονται γὰρ ἑαυτοῖς, καὶ ἑτέρων μὲν ἐπιθυμοῦ-
σιν ἄλλα δὲ βούλονται, οἷον οἱ ἀκρατεῖς· αἱροῦνται γὰρ
ἀντὶ τῶν δοκούντων ἑαυτοῖς ἀγαθῶν εἶναι τὰ ἡδέα βλα-
βερὰ ὄντα· οἱ δ' αὖ διὰ δειλίαν καὶ ἀργίαν ἀφίστανται 10
τοῦ πράττειν ἃ οἴονται ἑαυτοῖς βέλτιστα εἶναι. οἷς δὲ πολλὰ

---

20. οὐδεὶς αἱρεῖται Lᵇ Mᵇ Γ 21. ἐκεῖνο τὸ γενόμενον seclus. Vermehren 22. ἀλλ' οἷον ὁπότ' Kᵇ 23. ἢ om. Kᵇ Mᵇ 25. μνεῖαι Kᵇ Mᵇ 30. αὐτὸν] αὐτὸν μὲν Mᵇ 32. καὶ ante ἡ om. Kᵇ 35. ἐκ] ἢ ἐκ pr. Kᵇ: fort. ἓξ ⟨τε⟩ 1166ᵇ 3. τ' add. Kᵇ

kendisi için ister; hiçkimse bütün iyilere sahip olmayı ola- 20
naklı kılacak diye, bir başkası olmayı kabul etmez; tanrı da şimdi iyiye sahiptir ama daha önce olduğu şey olarak kaldıkça. Öte yandan her bireyin usuyla varolduğu ya da en çok onunla varolduğu görülse gerek. Böyle biri kendiyle yaşamak ister; bunu hoş bir biçimde yapar; yapmış olduklarının anıları eğlendirici, gelecekte yapacaklarının umudu iyi- 25
dir; bunlarsa hoş. Düşünce açısından zengin kurguları vardır, en çok kendi kendine acı çeker, haz alır. Onun için acı, hoş olan şey hep aynıdır, bugün bu, yarın şu değildir. Deyim yerindeyse o "pişman olamayan" biri. İmdi doğru kişide bunlardan herbiri kendi başına bulunduğundan ve dos- 30
tuyla ilişkisi kendi kendisiyle ilişkisi gibi olduğundan (dostu bir başka kendidir), bunların dostluğu da bunlara benzer bir şey olur ve bu özellikleri taşıyan kişilerle dost olurlar. İnsanın kendisiyle dostluğu olur mu, sorusunu bırakalım. Söylediklerimizden iki ya da daha çoğu olduğu ölçüde dostluğun 35
olduğu görülse gerek. Yine dostluk aşırılığı, kişinin kendi- 1166b
siyle olan dostluğuna benzer. Söylediklerimiz, kötü olsalar bile, bir çok kişide bulunuyor, diye düşünülse gerek. Ama, acaba kendilerinden hoşlandıkları için ve kendilerinin doğru kişi olduğunu varsaydıkları için, bunların arasına katılmamaları mı gerekir? Nitekim bu tür nitelikler kötü ve üçka- 5
ğıtçı kişilerde bulunmaz, diye de düşünülemez, herhalde aşağılık kişilerde de. Ama onlar kendi içlerinde tutarlı olmaz, kendine egemen olmayan kişiler gibi başka şeyler arzulayıp, başka şeyler isterler, kendilerine iyi görünenler yerine, zararlı bile olsalar hoş şeyleri tercih ederler. Kimileri ise kendileri için daha iyi olduğunu düşündükleri şeyleri yap- 10
maktan, korkaklık ya da tembellik yüzünden alıkonur. Öte

καὶ δεινὰ πέπρακται καὶ διὰ τὴν μοχθηρίαν μισοῦνται, καὶ φεύγουσι τὸ ζῆν καὶ ἀναιροῦσιν ἑαυτούς. ζητοῦσί τε οἱ 9
μοχθηροὶ μεθ' ὧν συνημερεύσουσιν, ἑαυτοὺς δὲ φεύγουσιν·
15 ἀναμιμνήσκονται γὰρ πολλῶν καὶ δυσχερῶν, καὶ τοιαῦθ' ἕτερα ἐλπίζουσι, καθ' ἑαυτοὺς ὄντες, μεθ' ἑτέρων δ' ὄντες ἐπιλανθάνονται. οὐδέν τε φιλητὸν ἔχοντες οὐδὲν φιλικὸν πάσχουσι πρὸς ἑαυτούς. οὐδὲ δὴ συγχαίρουσιν οὐδὲ συναλγοῦσιν οἱ τοιοῦτοι ἑαυτοῖς· στασιάζει γὰρ αὐτῶν ἡ ψυχή,
20 καὶ τὸ μὲν διὰ μοχθηρίαν ἀλγεῖ ἀπεχόμενόν τινων, τὸ δ' ἥδεται, καὶ τὸ μὲν δεῦρο τὸ δ' ἐκεῖσε ἕλκει ὥσπερ διασπῶντα. εἰ δὲ μὴ οἷόν τε ἅμα λυπεῖσθαι καὶ ἥδεσθαι, 10
ἀλλὰ μετὰ μικρόν γε λυπεῖται ὅτι ἥσθη, καὶ οὐκ ἂν ἐβούλετο ἡδέα ταῦτα γενέσθαι αὐτῷ· μεταμελείας γὰρ
25 οἱ φαῦλοι γέμουσιν. οὐ δὴ φαίνεται ὁ φαῦλος οὐδὲ πρὸς ἑαυτὸν φιλικῶς διακεῖσθαι διὰ τὸ μηδὲν ἔχειν φιλητόν. εἰ δὴ τὸ οὕτως ἔχειν λίαν ἐστὶν ἄθλιον, φευκτέον τὴν μοχθηρίαν διατεταμένως καὶ πειρατέον ἐπιεικῆ εἶναι· οὕτω γὰρ καὶ πρὸς ἑαυτὸν φιλικῶς ἂν ἔχοι καὶ ἑτέρῳ φίλος γένοιτο.

5 Ἡ δ' εὔνοια φιλικῷ μὲν ἔοικεν, οὐ μὴν ἔστι γε φιλία· V.
γίνεται γὰρ εὔνοια καὶ πρὸς ἀγνῶτας καὶ λανθάνουσα, φιλία δ' οὔ. καὶ πρότερον δὲ ταῦτ' εἴρηται. ἀλλ' οὐδὲ φίλησίς ἐστιν. οὐ γὰρ ἔχει διάτασιν οὐδ' ὄρεξιν, τῇ φιλήσει δὲ ταῦτ' ἀκολουθεῖ· καὶ ἡ μὲν φίλησις μετὰ συνηθείας, ἡ 2
35 δ' εὔνοια καὶ ἐκ προσπαίου, οἷον καὶ περὶ τοὺς ἀγωνιστὰς
1167 a συμβαίνει· εὔνοι γὰρ αὐτοῖς γίνονται καὶ συνθέλουσιν, συμπράξαιεν δ' ἂν οὐδέν· ὅπερ γὰρ εἴπομεν, προσπαίως εὔνοι γίνονται καὶ ἐπιπολαίως στέργουσιν. ἔοικε δὴ ἀρχὴ φιλίας 3

---

12. καὶ ante διὰ om. L^b μισοῦνται] μισοῦσί τε L^b καὶ om. M^b Γ
14. συνημερεύσουσιν K^b: συνδιημερεύσουσιν vulg. 20. τὸ μὲν om. K^b 26. αὐτὸν K^b 29. καὶ ante πρὸς om. K^b M^b 30. φιλικῶι K^b: φιλίᾳ vulg. 32. τοιαῦτ' K^b M^b Γ

yandan pek çok, korkunç şeyler yapmış olan kişiler, kötülük yüzünden kendinden nefret eder, yaşamdan kaçar, hatta kendini öldürür. Kötü kişiler hem birlikte gün geçirebilecekleri kişileri arar hem de kendilerinden kaçarlar. Kendi başlarına olduklarında pek çok talihsizlikleri anımsayıp bu tür başka şeyler kurarlar, başkalarıyla birlikte olduklarında, bunları unuturlar. Ne ki, sevilir hiçbir yanları olmadığından kendilerince bile sevilir değillerdir. İmdi bu tür kişiler kendi başlarına ne haz alır ne de acı duyar; ruhları karmakarışıktır, ruhlarının bir yanı kötülük yüzünden böylesi kimi şeylerden yoksun olduğu için acı çekerken, öteki parçası bundan hoşlanır; sanki bölmek ister gibi biri bir yandan, öteki öte yandan çeker. Aynı anda hem acı çekmek hem de haz almak olanaklı olmazsa, haz aldıktan sonra az haz aldığı için acı çeker, kendisi için hoş şeylerin olmamasını bile isteyebilir, çünkü kötü kişiler pişmanlık küpüdür. İmdi kötü kişi sevilir hiçbir yanı olmadığından, kendisine bile dostça yaklaşmaz. Demek ki, böyle olmak son derece sefilce bir şeyse, tüm gücümüzle kötülükten kaçmalı, doğru kişi olmaya çalışmalıyız. Ancak bu şekilde kendimizle dost olabilir, başka biriyle dostluk kurabiliriz.

Yakınlık duyma dostluğa benzer, ama dostluk değil: Tanımadık kişilere de yakınlık duyulur, bu dostluk saklı kalır, oysa dostluk böyle değil; daha önce de bunu söylemiştik. Ne ki, yakınlık duyma sevgi de değil, çünkü yakınlık duyma bir eğilim ya da iştah taşımaz, oysa bunlar sevgiye uyan şeyler. Ayrıca sevgi tanışıklıkla birlikte, yakınlık duyma ise beklenmedik biçimde olabilir, sözgelişi yarışmacılarla ilgili olabilir, onlara yakınlık duyulur, onlarla aynı şey istenir ama onlarla hiçbir ortak eylem yapılamaz. Çünkü dediğimiz gibi, insanlar beklenmedik biçimde yakınlık duyar, yüzeysel sever. İmdi

εἶναι, ὥσπερ τοῦ ἐρᾶν ἡ διὰ τῆς ὄψεως ἡδονή· μὴ γὰρ προησθεὶς τῇ ἰδέᾳ οὐδεὶς ἐρᾷ, ὁ δὲ χαίρων τῷ εἴδει οὐδὲν μᾶλλον ἐρᾷ, ἀλλ' ὅταν καὶ ἀπόντα ποθῇ καὶ τῆς παρουσίας ἐπιθυμῇ· οὕτω δὴ καὶ φίλους οὐχ οἷόν τ' εἶναι μὴ εὔνους γενομένους, οἱ δ' εὔνοι οὐδὲν μᾶλλον φιλοῦσιν· βούλονται γὰρ μόνον τἀγαθὰ οἷς εἰσὶν εὔνοι, συμπράξαιεν δ' ἂν οὐδέν, οὐδ' ὀχληθεῖεν ὑπὲρ αὐτῶν. διὸ μεταφέρων φαίη τις ἂν αὐτὴν ἀργὴν εἶναι φιλίαν, χρονιζομένην δὲ καὶ εἰς συνήθειαν ἀφικνουμένην γίνεσθαι φιλίαν, οὐ τὴν διὰ τὸ χρήσιμον οὐδὲ τὴν διὰ τὸ ἡδύ· οὐδὲ γὰρ εὔνοια ἐπὶ τούτοις γίνεται. ὁ μὲν γὰρ εὐεργετηθεὶς ἀνθ' ὧν πέπονθεν ἀπονέμει τὴν εὔνοιαν, τὰ δίκαια δρῶν· ὁ δὲ βουλόμενός τιν' εὐπραγεῖν, ἐλπίδα ἔχων εὐπορίας δι' ἐκείνου, οὐκ ἔοικ' εὔνους ἐκείνῳ εἶναι, ἀλλὰ μᾶλλον ἑαυτῷ, καθάπερ οὐδὲ φίλος, εἰ θεραπεύει αὐτὸν διά τινα χρῆσιν. ὅλως δ' εὔνοια δι' ἀρετὴν καὶ ἐπιείκειάν τινα γίνεται, ὅταν τῳ φανῇ καλός τις ἢ ἀνδρεῖος ἤ τι τοιοῦτον, καθάπερ καὶ ἐπὶ τῶν ἀγωνιστῶν εἴπομεν.

VI. Φιλικὸν δὲ καὶ ἡ ὁμόνοια φαίνεται. διόπερ οὐκ ἔστιν ὁμοδοξία· τοῦτο μὲν γὰρ καὶ ἀγνοοῦσιν ἀλλήλους ὑπάρξειεν ἄν· οὐδὲ τοὺς περὶ ὁτουοῦν ὁμογνωμονοῦντας ὁμονοεῖν φασίν, οἷον τοὺς περὶ τῶν οὐρανίων (οὐ γὰρ φιλικὸν τὸ περὶ τούτων ὁμονοεῖν), ἀλλὰ τὰς πόλεις ὁμονοεῖν φασίν, ὅταν περὶ τῶν συμφερόντων ὁμογνωμονῶσι καὶ ταὐτὰ προαιρῶνται καὶ πράττωσι τὰ κοινῇ δόξαντα. περὶ τὰ πρακτὰ δὴ ὁμονοοῦσιν, καὶ τούτων περὶ τὰ ἐν μεγέθει καὶ ἐνδεχόμενα ἀμφοῖν ὑπάρχειν ἢ πᾶσιν, οἷον αἱ πόλεις, ὅταν πᾶσι δοκῇ τὰς ἀρχὰς αἱρετὰς εἶναι, ἢ συμμαχεῖν Λακεδαιμονίοις, ἢ ἄρχειν Πιττακὸν ὅτε καὶ αὐτὸς ἤθελεν. ὅταν

1167ᵃ 18. δ' K^b M^b : δ' ἡ L^b 29. καὶ τὰ ἐνδεχόμενα L^b

öyle geliyor ki, nasıl aşkın başlangıcı görmekle doğan haz ise, yakınlık da bir dostluk başlangıcı. Hiçkimse önce ötekinin görünüşünden hoşlanmadıysa aşık olmuyor; ötekinin görünüşünden hoşlandığı için değil de, daha çok o olmadığında eksikliğini duyduğunda, yanında olmasını arzuladığından aşık oluyor. Demek bu biçimde yakınlık duymayanların dost olması olanaksız, ama yakınlık duydukları için de daha çok severler anlamına gelmez bu. İnsanlar yakınlık duydukları kişiler için iyi şeyler ister, ama ne onlarla ortak eylemde bulunabilir ne de onlar adına sıkıntıya katlanabilir. Bunun için eğretileme yoluyla, yakınlık duymanın "uyuşuk bir dostluk" olduğu söylenebilir. Ne ki uzun sürelidir, tanışma olursa yarar ya da hoşluğa dayanmayan bir dostluk haline gelebilir, çünkü yakınlık duyma bunlara dayanmaz. Yakınlık gören hakca davranırsa elde ettiğine karşılık olarak yakınlık duyar; ne ki, ondan gelecek bir çıkar beklentisiyle birisine iyilik yapmak isteyen kişinin, ona değil, daha çok kendine yakınlık duyduğu görünür: Tıpkı bir yarar adına özen gösteren kişinin dost olmaması gibi. Kısaca yarışmacılar için de söylediğimiz gibi, biri bir başkasına güzel, yiğit vb. göründüğünde erdem ya da belli bir doğruluk ile oluşuyor yakınlık.

Uzlaşma da sevilir görünüyor, bunun için de fikir birliğiyle eş tutulamaz; çünkü beriki biribirlerini tanımayan kişiler arasında da olabilir. Herhangi bir şey konusunda, sözgelişi gökyüzü ile ilgili konularda aynı düşüncede olanların uzlaştıkları söylenemez (bunlar üzerine uzlaşmak bir dostluk ilişkisi değil). Buna karşın yararlı olan şeylerde anlaştıkları, bunları tercih ettikleri, ortak olarak uygun gördükleri şeyleri yaptıklarında devletlerin uzlaştıkları söylenebilir. Demek ki, yapılan işler konusunda uzlaşılır: Önemli olanlar, heriki tarafla ya da herkesle ilgili olanlar konusunda: Sözgelişi devletler ne zaman yöneticilerin seçilmesi gerektiğinin hepsi için uygun olduğu konusunda; Spartalılarla müttefik olmak konusunda; kendisi istediğinde Pittakos'un yönetici olması konusunda uzlaşabilirler. Ama

δ' ἑκάτερος ἑαυτὸν βούληται, ὥσπερ οἱ ἐν ταῖς Φοινίσσαις, στασιάζουσιν· οὐ γάρ ἐστιν ὁμονοεῖν τὸ αὐτὸ ἑκάτερον ἐννοεῖν ὁδήποτε, ἀλλὰ τὸ ἐν τῷ αὐτῷ, οἷον ὅταν καὶ ὁ δῆμος 1167 b καὶ οἱ ἐπιεικεῖς τοὺς ἀρίστους ἄρχειν· οὕτω γὰρ πᾶσι γίνεται οὗ ἐφίενται. πολιτικὴ δὴ φιλία φαίνεται ἡ ὁμόνοια, καθάπερ καὶ λέγεται· περὶ τὰ συμφέροντα γάρ ἐστι καὶ τὰ εἰς τὸν βίον ἥκοντα. ἔστι δ' ἡ τοιαύτη ὁμόνοια 3 ἐν τοῖς ἐπιεικέσιν· οὗτοι γὰρ καὶ ἑαυτοῖς ὁμονοοῦσι καὶ ἀλλήλοις, ἐπὶ τῶν αὐτῶν ὄντες ὡς εἰπεῖν (τῶν τοιούτων γὰρ μένει τὰ βουλήματα καὶ οὐ μεταρρεῖ ὥσπερ εὔριπος), βούλονταί τε τὰ δίκαια καὶ τὰ συμφέροντα, τούτων δὲ καὶ κοινῇ ἐφίενται. τοὺς δὲ φαύλους οὐχ οἷόν τε ὁμονοεῖν 4 πλὴν ἐπὶ μικρόν, καθάπερ καὶ φίλους εἶναι, πλεονεξίας ἐφιεμένους ἐν τοῖς ὠφελίμοις, ἐν δὲ τοῖς πόνοις καὶ ταῖς λειτουργίαις ἐλλείποντας· ἑαυτῷ δ' ἕκαστος βουλόμενος ταῦτα τὸν πέλας ἐξετάζει καὶ κωλύει· μὴ γὰρ τηρούντων τὸ κοινὸν ἀπόλλυται. συμβαίνει οὖν αὐτοῖς στασιάζειν, ἀλλήλους μὲν ἐπαναγκάζοντας, αὐτοὺς δὲ μὴ βουλομένους τὰ δίκαια ποιεῖν.

7 Οἱ δ' εὐεργέται τοὺς εὐεργετηθέντας δοκοῦσι μᾶλλον VII. φιλεῖν ἢ οἱ εὖ παθόντες τοὺς δράσαντας, καὶ ὡς παρὰ λόγον γινόμενον ἐπιζητεῖται. τοῖς μὲν οὖν πλείστοις φαίνεται ὅτι οἱ μὲν ὀφείλουσι τοῖς δὲ ὀφείλεται· καθάπερ οὖν ἐπὶ τῶν δανείων οἱ μὲν ὀφείλοντες βούλονται μὴ εἶναι οἷς ὀφείλουσιν, οἱ δὲ δανείσαντες καὶ ἐπιμελοῦνται τῆς τῶν ὀφειλόντων σωτηρίας, οὕτω καὶ τοὺς εὐεργετήσαντας βούλεσθαι εἶναι τοὺς παθόντας ὡς κομιουμένους τὰς χάριτας,

---

33. ἑκάτερος καὶ ἑαυτὸν K^b 34. αὐτῷ K^b L^b M^b Γ ἐυνοεῖν K^b L^b Γ 1167 b 2. δὴ Ramsauer (et ut videtur Heliodorus) : δὲ codd. 4. ἥκοντα M^b : εἰκότα K^b Γ : ἀνήκοντα L^b 18. οἱ om. K^b M^b 22. οἱ δανείσαντες δὲ K^b M^b ἐπιμέλονται L^b

Phoinissai'da[75] olduğu gibi, herbiri kendi adayını isterse anlaşmazlığa düşerler. Uzlaşma iki taraftan herbirinin ne olursa olsun aynı şeyi önermesi değil, bir şeyi aynı şekilde önermesidir: Sözgelişi halkın ve doğru insanların aristokrasi yönetiminde uzlaşmaları! Ancak bu şekilde herkesin istediği olur. Demek söylediğimiz gibi, uzlaşma toplumsal bir dostluk gibi görünüyor; yararlı olanlarla, yaşam için uygun olanlarla ilgili. Bu tür bir uzlaşma doğru kişilerde olur, çünkü onlar kendileri ile, başkaları ile uzlaşma içindedir. Deyim yerindeyse "aynı yöne dönüktürler" (bu tür kişilerin istekleri kalıcıdır, bir sarkaç gibi yön değiştirip durmazlar); adil ve yararlı olanları ister, bunları kamu adına ararlar. Oysa kötü kişiler zorluklarda ve kamu işlerinde geride kalıp, yararlı olanlarda daha çoğu aradıklarından, dostluklarında da olduğu gibi, pek azı dışında, uzlaşamazlar. Herbiri bunları kendisi için istediğinden yakınındakini ezer, ona çelme atar, ortaklık gözetilmeyince ortaklık ortadan kalkar. İmdi biribirlerine fırsat vermedikleri, kendileri de adil şeyler yapmak istemedikleri için bunlarda anlaşmazlık ortaya çıkıyor.

Öyle görünüyor ki, iyilik yapanlar iyilik yaptıkları kişileri, iyilik görenlerin onları sevdiklerinden çok sever, akla aykırı olan bu durum araştırılır. Çoğu kişiye göre, biri borç verdiği için, öteki borçlandığı için bu böyle, çünkü nasıl ödünç verme konusunda, borçlu olanlar borçlu oldukları kimselerin olmamasını isterlerse, ödünç verenler de borçlu olanların "selamet"leriyle ilgilenirlerse; aynı biçimde iyilik yapanlar da iyilik görenlerin varolmasını ister, çünkü onlar şükran borcu taşıyacaklardır,

τοῖς δ' οὐκ εἶναι ἐπιμελὲς τὸ ἀνταποδοῦναι. Ἐπίχαρμος 25
μὲν οὖν τάχ' ἂν φαίη ταῦτα λέγειν αὐτοὺς ἐκ πονηροῦ
θεωμένους, ἔοικε δ' ἀνθρωπικῷ· ἀμνήμονες γὰρ οἱ πολλοί,
2 καὶ μᾶλλον εὖ πάσχειν ἢ ποιεῖν ἐφίενται. δόξειε δ' ἂν
φυσικώτερον εἶναι τὸ αἴτιον, καὶ οὐδ' ὅμοιον τὸ περὶ τοὺς
δανείσαντας· οὐ γάρ ἐστι φίλησις περὶ ἐκείνους, ἀλλὰ τοῦ 30
σῴζεσθαι βούλησις τῆς κομιδῆς ἕνεκα· οἱ δ' εὖ πεποιηκότες
φιλοῦσι καὶ ἀγαπῶσι τοὺς πεπονθότας κἂν μηδὲν ὦσι
3 χρήσιμοι μηδ' εἰς ὕστερον γένοιντ' ἄν. ὅπερ καὶ ἐπὶ τῶν
τεχνιτῶν συμβέβηκεν· πᾶς γὰρ τὸ οἰκεῖον ἔργον ἀγαπᾷ
μᾶλλον ἢ ἀγαπηθείη ἂν ὑπὸ τοῦ ἔργου ἐμψύχου γενομένου· 35
μάλιστα δ' ἴσως τοῦτο περὶ τοὺς ποιητὰς συμβαίνει· ὑπερα- 1168
γαπῶσι γὰρ οὗτοι τὰ οἰκεῖα ποιήματα, στέργοντες ὥσπερ
4 τέκνα. τοιούτῳ δὴ ἔοικε καὶ τὸ τῶν εὐεργετῶν· τὸ γὰρ εὖ
πεπονθὸς ἔργον ἐστὶν αὐτῶν· τοῦτο δὴ ἀγαπῶσι μᾶλλον ἢ
τὸ ἔργον τὸν ποιήσαντα. τούτου δ' αἴτιον ὅτι τὸ εἶναι πᾶσιν 5
αἱρετὸν καὶ φιλητόν, ἐσμὲν δ' ἐνεργείᾳ (τῷ ζῆν γὰρ καὶ
πράττειν), ἐνεργείᾳ δὲ ὁ ποιήσας τὸ ἔργον ἔστι πως· στέργει
δὴ τὸ ἔργον, διότι καὶ τὸ εἶναι. τοῦτο δὲ φυσικόν· ὃ γάρ
5 ἐστι δυνάμει, τοῦτο ἐνεργείᾳ τὸ ἔργον μηνύει. ἅμα δὲ καὶ
τῷ μὲν εὐεργέτῃ καλὸν τὸ κατὰ τὴν πρᾶξιν, ὥστε χαίρειν 10
ἐν ᾧ τοῦτο, τῷ δὲ παθόντι οὐδὲν καλὸν ἐν τῷ δράσαντι,
ἀλλ' εἴπερ, συμφέρον· τοῦτο δ' ἧττον ἡδὺ καὶ φιλητόν.
6 ἡδεῖα δ' ἐστὶ τοῦ μὲν παρόντος ἡ ἐνέργεια, τοῦ δὲ μέλλοντος
ἡ ἐλπίς, τοῦ δὲ γεγενημένου ἡ μνήμη· ἥδιστον δὲ τὸ κατὰ
τὴν ἐνέργειαν, καὶ φιλητὸν ὁμοίως. τῷ μὲν οὖν πεποιηκότι 15
μένει τὸ ἔργον (τὸ καλὸν γὰρ πολυχρόνιον), τῷ δὲ παθόντι
τὸ χρήσιμον παροίχεται. ἥ τε μνήμη τῶν μὲν καλῶν ἡδεῖα,

---

28. ἂν] ἂν καὶ Γ 29. οὐχ L^b Γ τὸ scripsi : τῷ codd. : καὶ τὰ (ut videtur) Γ 32. πεπονθότας] εὖ πεπονθότας Γ : εὐεργετηθέντας L^b
1168ª 7. δὴ K^b Γ

oysa ötekiler buna aldırmaz. Epikharmos herhalde bunları söyleyenlerin kötümser bir görüşten yola çıktıklarını söyleyecek, ama "insanca" görünüyor, çünkü pek çok kişinin belleği kıt, iyilik yapmaktan çok iyilik görmeye bakıyor. Ne ki, nedenin daha doğal olduğu, ödünç verme konusuyla bir benzerlik taşımadığı görünse gerek. Nitekim borç alana karşı sevgi değil, yalnızca -geri verme bakımından- korunması adına bir istek var. Oysa iyilik yapanlar dostluk duyar, kendileri için hiç yararlı olmasalar bile, daha sonra da yararlı olamayacak olsalar bile, iyilik görenleri sever. Bu, sanatçılarda da böyle olmuştur; sanatçı kendi eserini, eser canlı olsaydı onun tarafından sevileceğinden çok sever. Bu herhalde en çok ozanlarda böyle oluyor; onlar şiirlerini çocukları gibi seviyor, onların üzerine titriyorlar. İyilikseverlerinki de buna benziyor; görülen iyilik onların eseri. İmdi bunlar eserin yapıcısını sevdiğinden daha çok onu seviyor. Bunun nedeni şu: Herkes için varolma tercih edilecek, sevilecek bir şey, biz "etkinlikle" varız (yaşamakla, eylemekle); bir eser ortaya çıkaran kişi bir biçimde etkinlik içinde: Eserini sever, çünkü varolmayı sever, bu da doğal bir şey; nitekim olanak halinde varolanı, eser etkinlik halinde kılmakta. Aynı anda iyilik yapan için eylemine ilişkin olan şey de güzel; dolayısıyla bu kimdeyse ondan da hoşlanacaktır, oysa iyilik gören için iyilik yapanda güzel bir şey değil, olsa olsa yararlı bir şey olur. Bu daha az hoş, daha az sevilecek bir şey. Aslında hoş olan, şimdikinin etkinliği, gelecektekinin beklentisi, geçmiştekinin anısı. En hoş olan ise etkinlikle ilgili olan şey: Sevilecek olan şey de öyle. İmdi eylemi gerçekleştirmiş olan için 'eser' kalıcı (güzel olan şey kalıcı olur), eyleme uğrayan için ise yarar geçmişte kalır. Oysa güzel şeylerin anısı hoş,

τῶν δὲ χρησίμων οὐ πάνυ ἢ ἧττον· ἡ προσδοκία δ' ἀνάπαλιν ἔχειν ἔοικεν. καὶ ἡ μὲν φίλησις ποιήσει ἔοικεν, τὸ φιλεῖσθαι δὲ τῷ πάσχειν· τοῖς ὑπερέχουσι δὲ περὶ τὴν πρᾶξιν ἔπεται τὸ φιλεῖν καὶ τὰ φιλικά. ἔτι δὲ τὰ ἐπιπόνως γενόμενα πάντες μᾶλλον στέργουσιν, οἷον καὶ τὰ χρήματα οἱ κτησάμενοι τῶν παραλαβόντων· δοκεῖ δὲ τὸ μὲν εὖ πάσχειν ἄπονον εἶναι, τὸ δ' εὖ ποιεῖν ἐργῶδες. διὰ ταῦτα δὲ καὶ αἱ μητέρες φιλοτεκνότεραι· ἐπιπονωτέρα γὰρ ἡ γένησις, καὶ μᾶλλον ἴσασιν ὅτι αὐτῶν. δόξειε δ' ἂν τοῦτο καὶ τοῖς εὐεργέταις οἰκεῖον εἶναι. 7

8 Ἀπορεῖται δὲ καὶ πότερον δεῖ φιλεῖν ἑαυτὸν μάλιστα ἢ ἄλλον τινά. ἐπιτιμῶσι γὰρ τοῖς ἑαυτοὺς μάλιστ' ἀγαπῶσι, καὶ ὡς ἐν αἰσχρῷ φιλαύτους ἀποκαλοῦσι, δοκεῖ τε ὁ μὲν φαῦλος ἑαυτοῦ χάριν πάντα πράττειν, καὶ ὅσῳ ἂν μοχθηρότερος ᾖ, τοσούτῳ μᾶλλον—ἐγκαλοῦσι δὴ αὐτῷ οἷον ὅτι οὐδὲν ἀφ' ἑαυτοῦ πράττει—ὁ δ' ἐπιεικὴς διὰ τὸ καλόν, καὶ ὅσῳ ἂν βελτίων ᾖ, μᾶλλον διὰ τὸ καλόν, καὶ φίλου ἕνεκα, τὸ δ' αὑτοῦ παρίησιν. τοῖς λόγοις δὲ τούτοις τὰ ἔργα διαφωνεῖ, οὐκ ἀλόγως. φασὶ γὰρ δεῖν φιλεῖν μάλιστα τὸν μάλιστα φίλον, φίλος δὲ μάλιστα ὁ βουλόμενος ᾧ βούλεται τἀγαθὰ ἐκείνου ἕνεκα, καὶ εἰ μηδεὶς εἴσεται· ταῦτα δ' ὑπάρχει μάλιστ' αὐτῷ πρὸς αὑτόν, καὶ τὰ λοιπὰ δὴ πάνθ' οἷς ὁ φίλος ὁρίζεται· εἴρηται γὰρ ὅτι ἀπ' αὐτοῦ πάντα τὰ φιλικὰ καὶ πρὸς τοὺς ἄλλους διήκει. καὶ αἱ παροιμίαι δὲ πᾶσαι ὁμογνωμονοῦσιν, οἷον τὸ "μία ψυχή" καὶ "κοινὰ τὰ φίλων" καὶ "ἰσότης φιλότης" καὶ "γόνυ κνήμης ἔγγιον·" πάντα γὰρ ταῦτα πρὸς αὐτὸν μάλιστ' ἂν ὑπάρχοι· μάλιστα VII 2

---

20. δὲ περὶ M^b: δὲ δὴ περὶ Γ: δὴ περὶ vulg. 21. τὸ φιλεῖν om. K^b
23. δὲ M^b: δὴ vulg. 28. καὶ om. L^b Γ 30. τε K^b Γ: δὲ vulg.
32. οἷον add. K^b Γ 1168b 2. ᾧ] ἢ ὦ K^b: fort. ἢν ᾧ 9. μάλισθ' ὑπάρχει L^b Γ

yararlı şeylerinki ya hiç hoş değildir ya da daha az hoştur; yine bunun da pek beklenir bir şey olmadığı görünüyor. Ayrıca sevgi bir etkinlik, sevilmek ise edilginlik gibi görünüyor; sevilecek şeyler, dostlukla ilgili şeyler de eylemde daha üstün olan kişinin peşinden gelir. Öte yandan, nasıl zenginliği kazananlar, mirasa konanlardan daha üstünse, herkes zorlukla olanları daha çok sever. Öyle görünüyor ki, iyilik görmek zahmetsiz, oysa iyilik etmek çaba ister. Bunun için anneler de çocuklarını daha çok seviyor, doğum zor, çocuklarının kendi 'eserleri' olduğunu daha iyi biliyorlar. İmdi bunun iyiliksever kişilere yakıştığı görülse gerek.

Acaba en çok kendini mi sevmeli, yoksa başka birini mi, diye sorulabilir. En çok kendini sevenler kınanır, kötüleyici anlamda "bencil" diye adlandırılır. Öyle görünüyor ki, kötü kişi her şeyi kendisi için yapıyor ve bu ne denli çoksa o denli kötü oluyor - kendisi için olmayan hiçbir şey yapmamakla suçlanır-. Oysa doğru kişi 'güzel'den ötürü, ne denli iyi ise o denli güzel bir şeyden ötürü ve dostu adına eyler, kendi yararını gözardı eder. Ne ki yine de olan bitenler, temellendirmelere uymuyor, bu da akla uygun. 1168b
En çok dost olanı en çok sevmek gerektiği söylenir; en çok dost olan kişi de, hiç kimse bilmeyecek olsa bile, iyi şeyleri kimin için istiyorsa, sırf onun adına isteyendir. Bunlar, dostun niteliği olarak belirlenen bütün öteki şeyler bizde daha çok kendimizle ilgili olarak bulunur. Sevilecek her şeyin kendimize bağlı olduğunu ve başkalarına yüklendiğini de söylediydik. Bütün atasözleri de bu konuda uzlaşıyor: "tek ruh", "dostların malı ortaktır", "dostluk eşitliktir", "diz kaval kemiğinden yakındır" gibi. Bütün bu atasözleri en çok kendi kendimize uyar, kişi en çok

γὰρ φίλος αὐτῷ· καὶ φιλητέον δὴ μάλισθ' ἑαυτόν. ἀπο- 10
ρεῖται δὴ εἰκότως ποτέροις χρεὼν ἕπεσθαι, ἀμφοῖν ἐχόντοιν
3 τὸ πιστόν. ἴσως οὖν τοὺς τοιούτους δεῖ τῶν λόγων διαιρεῖν
καὶ διορίζειν ἐφ' ὅσον ἑκάτεροι καὶ πῇ ἀληθεύουσιν. εἰ δὴ
λάβοιμεν τὸ φίλαυτον πῶς ἑκάτεροι λέγουσιν, τάχ' ἂν γένοιτο
4 δῆλον. οἱ μὲν οὖν εἰς ἄνειδος ἄγοντες αὐτὸ φιλαύτους καλοῦσι 15
τοὺς ἑαυτοῖς ἀπονέμοντας τὸ πλεῖον ἐν χρήμασι καὶ τιμαῖς
καὶ ἡδοναῖς ταῖς σωματικαῖς· τούτων γὰρ οἱ πολλοὶ ὀρέ-
γονται, καὶ ἐσπουδάκασι περὶ αὐτὰ ὡς ἄριστα ὄντα, διὸ καὶ
περιμάχητά ἐστιν. οἱ δὴ περὶ ταῦτα πλεονέκται χαρίζονται
ταῖς ἐπιθυμίαις καὶ ὅλως τοῖς πάθεσι καὶ τῷ ἀλόγῳ τῆς 20
ψυχῆς· τοιοῦτοι δ' εἰσὶν οἱ πολλοί· διὸ καὶ ἡ προσηγορία
γεγένηται ἀπὸ τοῦ πολλοῦ φαύλου ὄντος· δικαίως δὴ τοῖς
5 οὕτω φιλαύτοις ὀνειδίζεται. ὅτι δὲ τοὺς τὰ τοιαῦθ' αὑτοῖς
ἀπονέμοντας εἰώθασι λέγειν οἱ πολλοὶ φιλαύτους, οὐκ ἄδη-
λον· εἰ γάρ τις ἀεὶ σπουδάζοι τὰ δίκαια πράττειν αὐτὸς 25
μάλιστα πάντων ἢ τὰ σώφρονα ἢ ὁποιαοῦν ἄλλα τῶν κατὰ
τὰς ἀρετάς, καὶ ὅλως ἀεὶ τὸ καλὸν ἑαυτῷ περιποιοῖτο, οὐδεὶς
6 ἐρεῖ τοῦτον φίλαυτον οὐδὲ ψέξει. δόξειε δ' ἂν ὁ τοιοῦτος
μᾶλλον εἶναι φίλαυτος· ἀπονέμει γοῦν ἑαυτῷ τὰ κάλλιστα
καὶ μάλιστ' ἀγαθά, καὶ χαρίζεται ἑαυτοῦ τῷ κυριωτάτῳ, 30
καὶ πάντα τούτῳ πείθεται· ὥσπερ δὲ καὶ πόλις τὸ κυριώ-
τατον μάλιστ' εἶναι δοκεῖ καὶ πᾶν ἄλλο σύστημα, οὕτω καὶ
ἄνθρωπος· καὶ φίλαυτος δὴ μάλιστα ὁ τοῦτο ἀγαπῶν καὶ
τούτῳ χαριζόμενος. καὶ ἐγκρατὴς δὲ καὶ ἀκρατὴς λέγεται
τῷ κρατεῖν τὸν νοῦν ἢ μή, ὡς τούτου ἑκάστου ὄντος· καὶ πε- 35
πραγέναι δοκοῦσιν αὐτοὶ καὶ ἑκουσίως τὰ μετὰ λόγου μάλιστα. 1169ᵃ
ὅτι μὲν οὖν τοῦθ' ἕκαστός ἐστιν ἢ μάλιστα, οὐκ ἄδηλον, καὶ

---

11. δὴ scripsi : δ' codd. 15. οὖν om. K^b M^b 19. δὲ L^b 34. δὴ Γ 35. τοῦτο K^b M^b

kendi kendisiyle dost olur, en çok kendini sevmek gerekir. İmdi madem heriki görüş de ikna edici, "hangisine uyacağız" sorusu haklı olarak sorulsa gerek. Herhalde, temellendirmelerin herbiri ne dereceye kadar, ne tarzda doğru, bunu belirlemek gerekir. Herikisinin de "bencil"i nasıl tanımladığını ele alırsak belki bu açılabilir. Bu sözcüğü yerici anlamda kullananlar; zenginlikte, onurda, bedensel hazlarda daha büyük kısmı kendine ayıranlara "bencil" diyor; çünkü bunların pek çoğu sanki 'en iyi' bunlarmış gibi, bunlara iştah duyuyor, bunlara özen gösteriyor, bunun için bu tür şeyler arzulanır şeyler oluyor. Bunlarla ilgili çıkar sağlayanlar arzulardan; genel olarak tutkulardan, ruhun akla aykırı yanından hoşlanır, çoğunluk böyledir. Bunun için "bencil" adı kötü olan çoğunluğa bağlı olarak konmuştur. İmdi bu biçimde bencil olanlar haklı olarak yerilir, çünkü bu tür şeyleri kendine ayıranlara çoğunluk "bencil" deyegelmektedir, bu açık. Biri her zaman daha çok adil, ölçülü ya da erdeme uygun başka eylemler yapmaya çalışırsa, genellikle hep kendisi için güzel olana özen gösterirse, kimse ona bencil demeyecek, kınamayacaktır. Ama böyle biri çok daha bencildir, diye de düşünülebilir, çünkü en güzel şeyleri, daha iyi olanları kendine ayırıyor, kişinin kendisiyle ilgili en önemli şeyden hoşlanıyor, buna ikna olmuş. Devlet ve bütün öteki kurumlar, nasıl özellikle en baştaki kısmıyla kurulursa, insan da böyle. Demek ki, en çok bu yanını seven, bundan hoşlanan kişi bencil bir kişi! Herbir kişi kendi usu ile varolduğundan, usuna egemen olup olmamasına göre "kendine egemen", "kendine egemen değil" diye adlandırılır. Öyle görünüyor ki, özellikle isteyerek ve aklın katıldığı eylemlerde bulunmakla *biz* eylemde bulunmuş oluruz. Demek herbir kişiyi o kişi yapan ustur, ya da en çok odur, bu açık.

ὅτι ὁ ἐπιεικὴς μάλιστα τοῦτ' ἀγαπᾷ. διὸ φίλαυτος μάλιστ' ἂν εἴη, καθ' ἕτερον εἶδος τοῦ ὀνειδιζομένου, καὶ διαφέρων τοσοῦτον ὅσον τὸ κατὰ λόγον ζῆν τοῦ κατὰ πάθος, καὶ ὀρέγεσθαι ἢ τοῦ καλοῦ ἢ τοῦ δοκοῦντος συμφέρειν. τοὺς μὲν οὖν περὶ τὰς καλὰς πράξεις διαφερόντως σπουδάζοντας πάντες ἀποδέχονται καὶ ἐπαινοῦσιν· πάντων δὲ ἀμιλλωμένων πρὸς τὸ καλὸν καὶ διατεινομένων τὰ κάλλιστα πράττειν κοινῇ τ' ἂν πάντ' εἴη τὰ δέοντα καὶ ἰδίᾳ ἑκάστῳ τὰ μέγιστα τῶν ἀγαθῶν, εἴπερ ἡ ἀρετὴ τοιοῦτόν ἐστιν. ὥστε τὸν μὲν ἀγαθὸν δεῖ φίλαυτον εἶναι (καὶ γὰρ αὐτὸς ὀνήσεται τὰ καλὰ πράττων καὶ τοὺς ἄλλους ὠφελήσει), τὸν δὲ μοχθηρὸν οὐ δεῖ· βλάψει γὰρ καὶ ἑαυτὸν καὶ τοὺς πέλας, φαύλοις πάθεσιν ἑπόμενος. τῷ μοχθηρῷ μὲν οὖν διαφωνεῖ ἃ δεῖ πράττειν καὶ ἃ πράττει· ὁ δ' ἐπιεικής, ἃ δεῖ, ταῦτα καὶ πράττει· πᾶς γὰρ νοῦς αἱρεῖται τὸ βέλτιστον ἑαυτῷ, ὁ δ' ἐπιεικὴς πειθαρχεῖ τῷ νῷ. ἀληθὲς δὲ περὶ τοῦ σπουδαίου καὶ τὸ τῶν φίλων ἕνεκα πολλὰ πράττειν καὶ τῆς πατρίδος, κἂν δέῃ ὑπεραποθνήσκειν· προήσεται γὰρ καὶ χρήματα καὶ τιμὰς καὶ ὅλως τὰ περιμάχητα ἀγαθά, περιποιούμενος ἑαυτῷ τὸ καλόν· ὀλίγον γὰρ χρόνον ἡσθῆναι σφόδρα μᾶλλον ἕλοιτ' ἂν ἢ πολὺν ἠρέμα, καὶ βιῶσαι καλῶς ἐνιαυτὸν ἢ πόλλ' ἔτη τυχόντως, καὶ μίαν πρᾶξιν καλὴν καὶ μεγάλην ἢ πολλὰς καὶ μικράς. τοῖς δ' ὑπεραποθνήσκουσι τοῦτ' ἴσως συμβαίνει· αἱροῦνται δὴ μέγα καλὸν ἑαυτοῖς. καὶ χρήματα προοῖντ' ἂν ἐφ' ᾧ πλείονα λήψονται οἱ φίλοι· γίνεται γὰρ τῷ μὲν φίλῳ χρήματα, αὐτῷ δὲ τὸ καλόν· τὸ δὴ μεῖζον ἀγαθὸν ἑαυτῷ ἀπονέμει. καὶ περὶ τιμὰς δὲ καὶ ἀρχὰς ὁ αὐτὸς τρόπος· πάντα γὰρ τῷ φίλῳ ταῦτα προήσεται· κα-

---

1169ᵃ 6. ἡ ante τοῦ καλοῦ om. L^b 15. πράττειν om. K^b M^b 16. ἃ om. K^b ταῦτα ἃ δεῖ K^b M^b καὶ] ἀεὶ K^b 29. δὴ K^b

Doğru kişi en çok usu sever, bu da açık. Bunun için o yerilenlerden farklı biçimde bir "bencil" olsa gerek: Akla uygun yaşamak tutkuya göre yaşamaktan; güzele iştah duymak yararlı görünene iştah duymaktan ne denli farklı ise o denli farklı biçimde. İmdi özellikle güzel eylemler için çalışanları herkes destekler, över. Erdem böyle ise, herkes *güzel* için yarışınca, en güzel şeyleri yapmaya eğilimli olunca, hem kamuya gerekli olan her şey hem de herbir kişiye özgü en önemli iyiler varolabilir. Dolayısıyla iyi kişinin bencil olması gerekir (güzel şeyler yaptığı için sevinecek, başkalarına yararlı olacak), oysa kötü kişi bencil olmamalı, çünkü o çirkin tutkuları izlemekle hem kendine hem de yakınlarına zarar verecektir. Kötü kişinin yapması gerekenler ile yaptıkları arasında tutarsızlık olur, doğru kişi yapması gerekenler ne ise onları yapar. Her us kendisi için en iyi olanı tercih eder, doğru kişi usa boyun eğer. Erdemli kişiye gelince: onun dostları için, vatanı için, uğruna canını vermek bile gerekse, pek çok şey yaptığı doğru: Kendisi için güzel olanı sağlamak istediğinden, zenginliği, onuru, kısaca arzulanan iyileri bir yana bırakır; az az uzun süre yerine, kısa süre çok güçlü haz almayı; uzun yıllar gelişigüzel yaşamak yerine tek bir yıl güzel yaşamayı; sayısız, önemsiz eylemler yerine güzel, önemli tek eylemi tercih edebilir. Herhalde kendi yaşamlarını feda edenler için bu sonuncusu söz konusu, çünkü onlar kendileri için büyük, güzel tek şeyi tercih ediyor. Dostlarının payına onlardan daha çok düşsün diye para harcarlar, çünkü dosta para, kendisi içinse *güzel* oluşuyor, daha büyük iyi kendine kalıyor. Onurlar, yönetimler konusunda da bu böyle: onlar bütün bunları dostlara bırakacaklardır.

λὸν γὰρ αὐτῷ τοῦτο καὶ ἐπαινετόν. εἰκότως δὴ δοκεῖ σπουδαῖος εἶναι, ἀντὶ πάντων αἱρούμενος τὸ καλόν. ἐνδέχεται δὲ καὶ πράξεις τῷ φίλῳ προΐεσθαι, καὶ εἶναι κάλλιον τοῦ
11 αὐτὸν πρᾶξαι τὸ αἴτιον τῷ φίλῳ γενέσθαι. ἐν πᾶσι δὴ τοῖς ἐπαινετοῖς ὁ σπουδαῖος φαίνεται ἑαυτῷ τοῦ καλοῦ πλέον 35
νέμων. οὕτω μὲν οὖν φίλαυτον εἶναι δεῖ, καθάπερ εἴρηται· 1169ᵇ
ὡς δ' οἱ πολλοί, οὐ χρή.

IX. Ἀμφισβητεῖται δὲ καὶ περὶ τὸν εὐδαίμονα, εἰ δεήσε- 9
ται φίλων ἢ μή. οὐθὲν γάρ φασι δεῖν φίλων τοῖς μακαρίοις καὶ αὐτάρκεσιν· ὑπάρχειν γὰρ αὐτοῖς τἀγαθά· αὐτάρ- 5
κεις οὖν ὄντας οὐδενὸς προσδεῖσθαι, τὸν δὲ φίλον, ἕτερον αὐτὸν ὄντα, πορίζειν ἃ δι' αὐτοῦ ἀδυνατεῖ· ὅθεν "ὅταν ὁ
2 δαίμων εὖ διδῷ, τί δεῖ φίλων;" ἔοικε δ' ἀτόπῳ τὸ πάντ' ἀπονέμοντας τἀγαθὰ τῷ εὐδαίμονι φίλους μὴ ἀποδιδόναι, ὃ
δοκεῖ τῶν ἐκτὸς ἀγαθῶν μέγιστον εἶναι. εἴ τε φίλου μᾶλλόν 10
ἐστι τὸ εὖ ποιεῖν ἢ πάσχειν, καὶ ἔστι τοῦ ἀγαθοῦ καὶ τῆς ἀρετῆς τὸ εὐεργετεῖν, κάλλιον δ' εὖ ποιεῖν φίλους ὀθνείων,
τῶν εὖ πεισομένων δεήσεται ὁ σπουδαῖος. διὸ καὶ ἐπιζητεῖται πότερον ἐν εὐτυχίαις μᾶλλον δεῖ φίλων ἢ ἐν ἀτυχίαις, 15
ὡς καὶ τοῦ ἀτυχοῦντος δεομένου τῶν εὐεργετησόντων καὶ τῶν
3 εὐτυχούντων οὓς εὖ ποιήσουσιν. ἄτοπον δ' ἴσως καὶ τὸ μονώτην ποιεῖν τὸν μακάριον· οὐδεὶς γὰρ ἕλοιτ' ἂν καθ' αὐτὸν
τὰ πάντ' ἔχειν ἀγαθά· πολιτικὸν γὰρ ὁ ἄνθρωπος καὶ συζῆν πεφυκός. καὶ τῷ εὐδαίμονι δὴ τοῦθ' ὑπάρχει· τὰ γὰρ 20
τῇ φύσει ἀγαθὰ ἔχει, δῆλον δ' ὡς μετὰ φίλων καὶ ἐπιεικῶν κρεῖττον ἢ μετ' ὀθνείων καὶ τῶν τυχόντων συνημερεύειν.
4 δεῖ ἄρα τῷ εὐδαίμονι φίλων. τί οὖν λέγουσιν οἱ πρῶτοι, καὶ πῇ ἀληθεύουσιν; ἢ ὅτι οἱ πολλοὶ φίλους οἴονται τοὺς χρησίμους εἶναι; τῶν τοιούτων μὲν οὖν οὐδὲν δεήσεται ὁ μακάριος,

---

1169ᵇ 5. ὑπάρχειν Nᵇ : ὑπάρχει vulg. αὐτοῖς om. Kᵇ ἀγαθά Kᵇ
18. τὰ πάντ' ἔχειν ἀγαθά] πάντ' ἔχειν τἀγαθὰ Lᵇ

çünkü kendileri için güzel, övülmesi gereken bu. Demek erdemli kişinin güzel olanı her şeye tercih eden böyle biri olması akla uygun. Ne ki, kimi eylemler de dosta bırakılabilir: Dostun bunları yapmasına neden olmak, bizzat yapmaktan daha güzel. İmdi bütün övülecek şeylerde erdemli kişinin, güzel olanın daha çoğunu kendine ayırdığı görünüyor. İmdi dediğimiz gibi, bu anlamda bencil olunmalı, çoğunluğun olduğu biçimde bencil olmamalı. 35 1169b

Mutlu kişi ile ilgili olarak, dostlara gereksinimi var mı, yok mu diye de tartışılır. Nitekim kutlu, kendine yeter kişilerin hiç de dostlara gereksinimi olmadığını söylerler, çünkü iyi şeyler onlarda bulunuyor, kendilerine yeter olduklarından hiçbir şeye gereksinim duymuyorlar. Ne ki, bir başka "kendi" olduğundan ötürü dost, tek başına elde edilemeyen şeyi sağlar. Bundan, "tanrı yardım ederse dostlara ne gerek var" derler.[76] Ne ki, bütün iyileri mutlu kişiye ayırmak, sonra da dostları bunun dışında tutmak garip görünüyor: Oysa dışa ait iyilerin en büyüğü dostlar olsa gerek. İyi davranmak ve iyilik görmek daha çok bir dostun görevi ise, iyilik etmek iyi kişinin, erdemin niteliği ise; dostlara iyilik etmek yabancılara iyilik etmekten daha güzelse, erdemli kişi iyilik edeceği kişilere gereksinim duyacaktır. Bunun için, madem talihsizliğe uğrayan kişi iyilik göreceği, talihliler ise iyilik yapacakları kimselere gereksinim duyuyor, acaba talihli durumda mı yoksa talihsizlikte mi dostlara daha çok gereksinim var, diye sorulur. Belki de 'tek kişiyi' mutlu saymak anlamsız; nitekim hiç kimse bütün iyilere sahip olmayı tek kendisi için tercih etmese gerek, çünkü insan toplumsal, doğa gereği birlikte yaşamaya yatkın. Bu, mutlu kişi için de böyle: O doğal olarak iyilere sahip; dostlarla, doğru kişilerle gün geçirmek, yabancı, sıradan kişilerle gün geçirmekten daha iyi, bu açık. Demek ki, mutlu kişiye dostlar gerekiyor. İmdi acaba dediklerimiz ne anlama geliyor? Ne anlamda doğru? Yoksa çoğunluğun dost diye yararlı kişileri düşündükleri sonucu mu çıkıyor? Oysa kutlu kişi bu tür dostlara hiç gerek duymayacaktır, 5 10 15 20

ἐπειδὴ τἀγαθὰ ὑπάρχει αὐτῷ· οὐδὲ δὴ τῶν διὰ τὸ ἡδύ, ἢ ἐπὶ μικρόν (ἡδὺς γὰρ ὁ βίος ὢν οὐδὲν δεῖται ἐπεισάκτου ἡδονῆς)· οὐ δεόμενος δὲ τῶν τοιούτων φίλων οὐ δοκεῖ δεῖσθαι φίλων. τὸ δ' οὐκ ἔστιν ἴσως ἀληθές. ἐν ἀρχῇ γὰρ εἴρηται ὅτι ἡ εὐδαιμονία ἐνέργειά τις ἐστίν, ἡ δ' ἐνέργεια δῆλον ὅτι γίνεται καὶ οὐχ ὑπάρχει ὥσπερ κτῆμά τι. εἰ δὲ τὸ εὐδαιμονεῖν ἐστὶν ἐν τῷ ζῆν καὶ ἐνεργεῖν, τοῦ δ' ἀγαθοῦ ἡ ἐνέργεια σπουδαία καὶ ἡδεῖα καθ' αὑτήν, καθάπερ ἐν ἀρχῇ εἴρηται, ἔστι δὲ καὶ τὸ οἰκεῖον τῶν ἡδέων, θεωρεῖν δὲ μᾶλλον τοὺς πέλας δυνάμεθα ἢ ἑαυτοὺς καὶ τὰς ἐκείνων πράξεις ἢ τὰς οἰκείας, αἱ τῶν σπουδαίων δὲ πράξεις φίλων ὄντων 1170ᵃ ἡδεῖαι τοῖς ἀγαθοῖς (ἄμφω γὰρ ἔχουσι τὰ τῇ φύσει ἡδέα)· ὁ μακάριος δὴ φίλων τοιούτων δεήσεται, εἴπερ θεωρεῖν προαιρεῖται πράξεις ἐπιεικεῖς καὶ οἰκείας, τοιαῦται δ' αἱ τοῦ ἀγαθοῦ φίλου ὄντος. οἴονταί τε δεῖν ἡδέως ζῆν τὸν εὐδαίμονα. μονώτῃ μὲν οὖν χαλεπὸς ὁ βίος· οὐ γὰρ ῥᾴδιον καθ' αὐτὸν ἐνεργεῖν συνεχῶς, μεθ' ἑτέρων δὲ καὶ πρὸς ἄλλους ῥᾷον. ἔσται οὖν ἡ ἐνέργεια συνεχεστέρα, ἡδεῖα οὖσα καθ' αὑτήν, ὃ δεῖ περὶ τὸν μακάριον εἶναι· ὁ γὰρ σπουδαῖος, ᾗ σπουδαῖος, ταῖς κατ' ἀρετὴν πράξεσι χαίρει, ταῖς δ' ἀπὸ κακίας δυσχεραίνει, καθάπερ ὁ μουσικὸς τοῖς καλοῖς μέλεσιν ἥδεται, ἐπὶ δὲ τοῖς φαύλοις λυπεῖται. γίνοιτο δ' ἂν καὶ ἄσκησίς τις τῆς ἀρετῆς ἐκ τοῦ συζῆν τοῖς ἀγαθοῖς, καθάπερ καὶ Θέογνίς φησιν. φυσικώτερον δ' ἐπισκοποῦσιν ἔοικεν ὁ σπουδαῖος φίλος τῷ σπουδαίῳ τῇ φύσει αἱρετὸς εἶναι. τὸ γὰρ τῇ φύσει ἀγαθὸν εἴρηται ὅτι τῷ σπουδαίῳ ἀγαθὸν καὶ ἡδύ ἐστι καθ' αὐτό. τὸ δὲ ζῆν ὁρίζονται τοῖς ζῴοις δυνάμει αἰσθήσεως, ἀνθρώποις δ' αἰσθήσεως ἢ νοήσεως· ἡ δὲ δύναμις εἰς τὴν

---

35. δὲ cod. Coll. Corp. Chr. Oxon. : δὴ vulg. 1170ᵃ 4. τε] δὲ Γ
15. ἀγαθὸν καὶ] καὶ ἀγαθὸν καὶ L^b: om. K^b

çünkü iyi şeyler zaten onda bulunur. Hoşluktan ötürü dost olanlara da ya gereksinim duymayacaktır ya da çok az duyacaktır (madem yaşamı hoş, buna ek bir hazza hiç gerek yok). Bu tür dostlara gereksinim duymayan biri için dostlara gerek olmadığı düşünülebilir. Ne ki, bu herhalde doğru değil! Nitekim başlangıçta "mutluluk belli bir etkinliktir", demiştik: Etkinlik bir mal gibi bulunan bir şey değil, bir oluştur, bu açık. İmdi başta dediğimiz gibi, mutlu olmak yaşamakta, etkinlikte bulunmakta ise, iyi kişinin etkinliği kendi başına erdemli, hoş ise; bu hoş şey de bize yakışır bir şeyse; biz kendimizden çok yakınlarımızı ve bizim eylemlerimizden çok onların eylemlerini gözleyebiliyorsak, dost olan erdemli kişilerin eylemleri iyi kişiler için hoş ise (herikisi de hoş şeylere doğal olarak sahip); kutlu kişi, doğru, yakışır eylemleri gözlemeyi tercih ediyorsa; bu tür eylemler dost olan iyi birinin eylemleri ise, o bu tür dostlara gerek duyacaktır. Mutlu kişinin hoş biçimde yaşaması gerektiği de düşünülür; tek başına yaşayan birinin yaşamı güç olur; sürekli olarak kendi başına etkinlikte bulunmak kolay değil, başkalarıyla birlikte, başkaları adına bunu yapmak daha kolay. Demek ki, etkinlik, tam da mutlu kişi için olması gerektiği gibi, 'kendi başına' hoş olduğundan, daha sürekli olacaktır. Nasıl bir müzisyen güzel ezgilerden hoşlanırsa, kötülerden acı duyarsa; erdemli olmakla erdemli kişi de erdeme uygun eylemlerden hoşlanır, kötülüğe bağlı olanlardan nefret eder. Ayrıca Theoginis'in dediği gibi, bir erdem uygulaması, iyi kişilerle birlikte yaşamakla oluşabilir. Daha doğallığı arayanlar ise, erdemli kişi doğal olarak erdemli kişi tarafından tercih edilecek bir dosttur, diye düşünür. Kaldı ki, doğal olarak iyi olanın erdemli kimse için 'kendi başına' iyi, hoş olduğunu söylemiştik. Hayvanlar için yaşamak duyu olanağına göre, insanlar için ise duyu ya da düşünme olanağına göre belirlenir. Olanak

ἐνέργειαν ἀνάγεται, τὸ δὲ κύριον ἐν τῇ ἐνεργείᾳ· ἔοικε δὴ τὸ ζῆν εἶναι κυρίως τὸ αἰσθάνεσθαι ἢ νοεῖν. τὸ δὲ ζῆν τῶν καθ' αὐτὸ ἀγαθῶν καὶ ἡδέων· ὡρισμένον γάρ, τὸ δ' ὡρισμένον τῆς τἀγαθοῦ φύσεως· τὸ δὲ τῇ φύσει ἀγαθὸν καὶ
8 τῷ ἐπιεικεῖ· διόπερ ἔοικε πᾶσιν ἡδὺ εἶναι· οὐ δεῖ δὲ λαμβάνειν μοχθηρὰν ζωὴν καὶ διεφθαρμένην, οὐδ' ἐν. λύπαις· ἀόριστος γὰρ ἡ τοιαύτη, καθάπερ τὰ ὑπάρχοντα αὐτῇ. ἐν
9 τοῖς ἐχομένοις δὲ περὶ τῆς λύπης ἔσται φανερώτερον. εἰ δ' αὐτὸ τὸ ζῆν ἀγαθὸν καὶ ἡδύ (ἔοικε δὲ καὶ ἐκ τοῦ πάντας ὀρέγεσθαι αὐτοῦ, καὶ μάλιστα τοὺς ἐπιεικεῖς καὶ μακαρίους· τούτοις γὰρ ὁ βίος αἱρετώτατος, καὶ ἡ τούτων μακαριωτάτη ζωή), ὁ δ' ὁρῶν ὅτι ὁρᾷ αἰσθάνεται καὶ ὁ ἀκούων ὅτι ἀκούει καὶ ὁ βαδίζων ὅτι βαδίζει, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ἔστι τι τὸ αἰσθανόμενον ὅτι ἐνεργοῦμεν, ὥστε ἂν αἰσθανώμεθ', ὅτι αἰσθανόμεθα, κἂν νοῶμεν, ὅτι νοοῦμεν, τὸ δ' ὅτι αἰσθανόμεθα ἢ νοοῦμεν, ὅτι ἐσμέν (τὸ γὰρ εἶναι ἦν αἰσθάνεσθαι ἢ νοεῖν), τὸ δ' αἰσθάνεσθαι ὅτι ζῇ, τῶν ἡδέων καθ' αὑτό (φύ- 1170 b
σει γὰρ ἀγαθὸν ζωή, τὸ δ' ἀγαθὸν ὑπάρχον ἐν ἑαυτῷ αἰσθάνεσθαι ἡδύ), αἱρετὸν δὲ τὸ ζῆν καὶ μάλιστα τοῖς ἀγαθοῖς, ὅτι τὸ εἶναι ἀγαθόν ἐστιν αὐτοῖς καὶ ἡδύ (συναισθανό-
10 μενοι γὰρ τοῦ καθ' αὑτὸ ἀγαθοῦ ἥδονται), ὡς δὲ πρὸς ἑαυτὸν 5
ἔχει ὁ σπουδαῖος, καὶ πρὸς τὸν φίλον (ἕτερος γὰρ αὐτὸς ὁ φίλος ἐστίν)· καθάπερ οὖν τὸ αὐτὸν εἶναι αἱρετόν ἐστιν ἑκάστῳ, οὕτω καὶ τὸ τὸν φίλον, ἢ παραπλησίως. τὸ δ' εἶναι ἦν αἱρετὸν διὰ τὸ αἰσθάνεσθαι αὐτοῦ ἀγαθοῦ ὄντος, ἡ δὲ τοιαύτη αἴσθησις ἡδεῖα καθ' ἑαυτήν. συναισθάνεσθαι ἄρα δεῖ καὶ τοῦ 10
φίλου ὅτι ἔστιν, τοῦτο δὲ γίνοιτ' ἂν ἐν τῷ συζῆν καὶ κοινωνεῖν λόγων καὶ διανοίας· οὕτω γὰρ ἂν δόξειε τὸ συζῆν ἐπὶ τῶν

---

18. δὲ] δὴ K^b 25. ἑπομένοις L^b M^b Γ 31. ὥστε ἂν αἰσθανώμεθ' scripsi: ὥστε αἰσθανόμεθ' ἂν K^b: ὥστε αἰσθανοίμεθ' ἂν Γ: αἰσθανοίμεθα δ' ἂν L^b M^b 32. κἂν νοῶμεν scripsi: καὶ νοοῦμεν K^b: καὶ νοοῖμεν vulg.

etkinliğe geçer, asıl olan etkinliktedir. Öyle görünüyor ki, yaşamak asıl anlamda ya duyumsamaktır ya da düşünmektir. Yaşamak, 'kendi başına' iyi, hoş bir şey; çünkü yaşamak belirli bir şey; belirlenmiş olan şey ise 'iyi'nin doğasına özgü. doğal olarak iyi olan, doğru kişi için de böyledir; işte bundan ötürü herkes için hoş görünüyor. Ne ki burada kötü, bozuk ya da acı içinde yaşamı düşünmemek gerekir, çünkü nasıl onun nitelikleri belirli değilse, bu tür bir yaşam da belirlenmiş değildir. Bu konu ilerde acı konusundan söz ederken açıklık kazanacak. İmdi yaşamanın kendisi iyi, hoşsa (herkesin, en çok da doğru, kutlu kişilerin onu istemelerinden de bu görünüyor: Onlar için yaşam en çok tercih edilmesi gerekli olan şey, onlarınki en kutlu yaşam); gören gördüğünü, işiten işittiğini, yürüyen yürüdüğünü duyumsuyorsa, öteki durumlarda da aynı şekilde bizim etkinlikte olduğumuzu duyumsadığımız bir şey varsa; dolayısıyla duyumsamakta olduğumuzu duyumsuyor, düşünmekte olduğumuzu düşünüyorsak, duyumsamamız ve düşünmemiz varolmamız demekse (varolmak düşünmek ya da duyumsamaktır, demiştik) ve duyumsamak 'kendi başına' hoş bir şeyse (yaşam doğal olarak bir iyi, bizde bir iyinin varolduğunu duyumsamak hoş); yaşamak tercih edilmesi gereken bir şeydir ve onlar için varolmak iyi, hoş olduğundan ötürü en çok iyi kişiler için böyledir (onlar kendi başına 'iyi'yi duyumsamaktan hoşlanır), erdemli kişi de dostuna karşı, kendine nasıl davranıyorsa öyle davranır (dost bir başka 'kendi'dir). İmdi nasıl herbir kişi için kendi varlığı tercih edilecek bir şeyse, aynen böyle ya da buna yakın biçimde dostun varlığı da tercih edilecek bir şeydir. Varolmak, kendini iyi olarak duyumsamak olmakla, tercih edilir; bu tür bir duyumsama kendi başına hoş olur, bunu söylemiştik. Demek ki, dostun varlığını da birlikte duyumsamak gerekir; bu ise birlikte yaşamakta, söz ve fikir alışverişinde oluşsa gerek. İnsanlarla ilgili olarak, birlikte yaşamaktan bu şekilde söz edildiği görünüyor,

ἀνθρώπων λέγεσθαι, καὶ οὐχ ὥσπερ ἐπὶ τῶν βοσκημάτων τὸ ἐν τῷ αὐτῷ νέμεσθαι. εἰ δὴ τῷ μακαρίῳ τὸ εἶναι αἱρε-
15 τόν ἐστι καθ' αὑτό, ἀγαθὸν τῇ φύσει ὂν καὶ ἡδύ, παραπλήσιον δὲ καὶ τὸ τοῦ φίλου ἐστίν, κἂν ὁ φίλος τῶν αἱρετῶν εἴη. ὃ δ' ἐστὶν αὐτῷ αἱρετόν, τοῦτο δεῖ ὑπάρχειν αὐτῷ, ἢ ταύτῃ ἐνδεὴς ἔσται. δεήσει ἄρα τῷ εὐδαιμονήσοντι φίλων σπουδαίων.

10 Ἆρ' οὖν ὡς πλείστους φίλους ποιητέον, ἢ καθάπερ ἐπὶ X.
τῆς ξενίας ἐμμελῶς εἰρῆσθαι δοκεῖ "μήτε πολύξεινος μήτ' ἄξεινος," καὶ ἐπὶ τῆς φιλίας ἁρμόσει μήτ' ἄφιλον εἶναι μήτ' αὖ πολύφιλον καθ' ὑπερβολήν; τοῖς μὲν δὴ πρὸς χρῆ- 2
σιν κἂν πάνυ δόξειεν ἁρμόζειν τὸ λεχθέν· πολλοῖς γὰρ
25 ἀνθυπηρετεῖν ἐπίπονον, καὶ οὐχ ἱκανὸς ὁ βίος αὐτὸ [τοῦτο] πράττειν. οἱ πλείους δὴ τῶν πρὸς τὸν οἰκεῖον βίον ἱκανῶν περίεργοι καὶ ἐμπόδιοι πρὸς τὸ καλῶς ζῆν· οὐθὲν οὖν δεῖ αὐτῶν. καὶ οἱ πρὸς ἡδονὴν δὲ ἀρκοῦσιν ὀλίγοι, καθάπερ ἐν τῇ τροφῇ τὸ ἥδυσμα. τοὺς δὲ σπουδαίους πότερον πλείστους 3
30 κατ' ἀριθμόν, ἢ ἔστι τι μέτρον καὶ φιλικοῦ πλήθους, ὥσπερ πόλεως; οὔτε γὰρ ἐκ δέκα ἀνθρώπων γένοιτ' ἂν πόλις, οὔτ' ἐκ δέκα μυριάδων ἔτι πόλις ἐστίν. τὸ δὲ ποσὸν οὐκ ἔστιν ἴσως ἕν τι, ἀλλὰ πᾶν τὸ μεταξὺ τινῶν ὡρισμένων. καὶ φίλων
1171ª δή ἐστι πλῆθος ὡρισμένον, καὶ ἴσως οἱ πλεῖστοι μεθ' ὧν ἂν δύναιτό τις συζῆν (τοῦτο γὰρ ἐδόκει φιλικώτατον εἶναι)· ὅτι 4
δ' οὐχ οἷόν τε πολλοῖς συζῆν καὶ διανέμειν ἑαυτόν, οὐκ ἄδηλον. ἔτι δὲ κἀκείνους δεῖ ἀλλήλοις φίλους εἶναι, εἰ μέλλουσι 5
πάντες μετ' ἀλλήλων συνημερεύειν· τοῦτο δ' ἐργῶδες ἐν

1170ᵇ 14. τὸ ἐν] fort. τῷ ἐν 16. κἂν—17. εἴη] καὶ—ἂν εἴη L^b: καὶ—εἴη Γ 22. post ἄξεινος add. καλεοίμην L^b Γ 24. κἂν scripsi: καὶ codd. post δόξειεν add. ἂν O^b 25. αὐτὸ K^b: αὐτῷ M^b Γ: αὐτοῖς L^b τοῦτο seclusi 26. δὲ M^b ἱκανῶν O^b Γ: ἱκανῶς vulg. 30. καὶ om. K^b 1171ª 2. δύναιντο συζῆν K^b διότι K^b

ama bu aynı yerde otlamaları yüzünden sürülerle ilgili kullanımdaki anlamı taşımaz. İmdi kutlu kişi için varolmak doğal olarak iyi, hoş olduğundan ötürü, 'kendi başına' tercih ediliyorsa, aynı şekilde dost da tercih ediliyorsa, dostun varolması da öyle olur. Onun için tercih edilecek şeyin kendisinde bulunması gerekir, yoksa bundan yoksun kalacaktır. Demek ki, mutlu kişinin erdemli dostlara gereksinimi olacaktır.

İmdi olabildiğince çok mu dost edinmeli, yoksa konukluk konusunda nasıl "ne çok konuk ne de konuksuz" demek yerinde görünürse, dostluk konusunda da "ne dostsuz olmak ne de aşırı sayıda çok dostu olmak"[77] mı demek uygun olacak? Yarar üzerine kurulan dostluklara bu söylediğimiz şeyin çok uyduğu görünebilir, çünkü pek çok kişiye hizmet etmek zahmetli; bunu gerçekleştirmek için yaşam yeterli değil. Demek ki, yakışır bir yaşama yeterli olandan daha çok sayıda dost fazla; ayrıca güzel bir yaşam için engelleyici. Öyleyse buna gerek yok. Haz üzerine kurulanlarda da, yemekteki tuz-biber gibi az dost yeter.Erdemli kişilere gelince, acaba çok olabilirler mi, yoksa kentteki yurttaşların sayısı gibi, dost sayısında da bir ölçü var mı? On kişiyle bir kent kurulamaz, onbin kişiyle kurulan bir kent de artık bir kent olmaz. Herhalde nicelik belli bir sayı değil, belirli iki sayı arasındaki her sayı. İmdi dostların çokluğu belirli, herhalde bir kişinin birlikte yaşayabileceği en çok kişi sayısı kadar olsa gerek (nitekim bu, en dostca şey diye düşünülüyor); pek çok kişiyle bir arada yaşamak, kendini onlara ayırmak olanaksız, bu açık. Ayrıca hepsi birlikte günlerini geçirmek zorunda iseler onların da biribirleriyle dost olması gerekir, oysa

πολλοῖς ὑπάρχειν. χαλεπὸν δὲ γίνεται καὶ τὸ συγχαίρειν καὶ τὸ συναλγεῖν οἰκείως πολλοῖς· εἰκὸς γὰρ συμπίπτειν ἅμα τῷ μὲν συνήδεσθαι τῷ δὲ συνάχθεσθαι. ἴσως οὖν εὖ ἔχει μὴ ζητεῖν ὡς πολυφιλώτατον εἶναι, ἀλλὰ τοσούτους ὅσοι εἰς τὸ συζῆν ἱκανοί· οὐδὲ γὰρ ἐνδέχεσθαι δόξειεν ἂν πολλοῖς εἶναι φίλον σφόδρα. διόπερ οὐδ' ἐρᾶν πλειόνων· ὑπερβολὴ γάρ τις εἶναι βούλεται φιλίας, τοῦτο δὲ πρὸς ἕνα· καὶ τὸ σφόδρα δὴ πρὸς ὀλίγους. οὕτω δ' ἔχειν ἔοικε καὶ ἐπὶ τῶν πραγμάτων· οὐ γίνονται γὰρ φίλοι πολλοὶ κατὰ τὴν ἑταιρικὴν φιλίαν, αἱ δ' ὑμνούμεναι ἐν δυσὶ λέγονται. οἱ δὲ πολύφιλοι καὶ πᾶσιν οἰκείως ἐντυγχάνοντες οὐδενὶ δοκοῦσιν εἶναι φίλοι, πλὴν πολιτικῶς, οὓς καὶ καλοῦσιν ἀρέσκους. πολιτικῶς μὲν οὖν ἔστι πολλοῖς εἶναι φίλον καὶ μὴ ἄρεσκον ὄντα, ἀλλ' ὡς ἀληθῶς ἐπιεικῆ· δι' ἀρετὴν δὲ καὶ δι' αὐτοὺς οὐκ ἔστι πρὸς πολλούς, ἀγαπητὸν δὲ καὶ ὀλίγους εὑρεῖν τοιούτους.

XI. Πότερον δ' ἐν εὐτυχίαις μᾶλλον φίλων δεῖ ἢ ἐν δυστυχίαις; ἐν ἀμφοῖν γὰρ ἐπιζητοῦνται· οἵ τε γὰρ ἀτυχοῦντες δέονται ἐπικουρίας, οἵ τ' εὐτυχοῦντες συμβίων καὶ οὓς εὖ ποιήσουσιν· βούλονται γὰρ εὖ ὁρᾶν. ἀναγκαιότερον μὲν δὴ ἐν ταῖς ἀτυχίαις, διὸ τῶν χρησίμων ἐνταῦθα δεῖ, κάλλιον δ' ἐν ταῖς εὐτυχίαις, διὸ καὶ τοὺς ἐπιεικεῖς ζητοῦσιν· τούτους γὰρ αἱρετώτερον εὐεργετεῖν καὶ μετὰ τούτων διάγειν. ἔστι γὰρ καὶ ἡ παρουσία αὐτὴ τῶν φίλων ἡδεῖα καὶ ἐν ταῖς εὐτυχίαις καὶ ἐν ταῖς δυστυχίαις. κουφίζονται γὰρ οἱ λυπούμενοι συναλγούντων τῶν φίλων. διὸ κἂν ἀπορήσειέν τις πότερον ὥσπερ βάρους μεταλαμβάνουσιν, ἢ τοῦτο μὲν οὔ, ἡ παρουσία δ' αὐτῶν ἡδεῖα οὖσα καὶ ἡ ἔννοια τοῦ συναλγεῖν ἐλάττω τὴν λύπην ποιεῖ. εἰ μὲν οὖν διὰ ταῦτα ἢ δι' ἄλλο τι κουφίζονται,

---

10. οὐ K^b M^b 12. τισιν K^b 15. πολλοὶ φίλοι K^b 19. αὐτοὺς scripsi : αὐτοὺς codd. 23. δ' K^b M^b 26. καὶ om. K^b M^b 28. καὶ ἐν ταῖς εὐτυχίαις om. K^b

pek çok kişide bunun olması zorlu bir şey. Pek çok kişiyle birlikte yakışır biçimde haz ve acı paylaşmak da zor: Aynı anda biriyle haz, ötekiyle acı paylaşmak zorunda kalınabilir. Demek olabildiğince çok dostsever olmak için değil, birlikte yaşamaya yeterli olacak kadarıyla dost olmak için çalışmak herhalde iyi olur. Nitekim çok kişiyle sıkı dost olmak olası görünmese gerek. Bunun için çok kişiye aşık da olmamalı: Aşk bir dostluk aşırılığı olması demektir, bu da yalnızca bir kişiyle olabilir; öyleyse sıkı dostluk da pek az kişiyle söz konusu. Olan bitenlerde de bu böyle görünüyor: Pek çok kişi arkadaş dostluğuna göre dost olmuyor; şiirler de iki kişi arasındaki dostluklardan sözediyor. Çok dostu olanlar, herkese yakın davrananlar ise, toplumsal anlam dışında, hiç kimseyle dost değil, bu görünüyor; bunlara "koltukçu" derler, ama koltukçu olmadan da birçok kişiyle dost olunabilir: Ancak gerçekten doğru kişi olunduğu ölçüde! Ne ki, erdem açısından ve bizzat kendisinden ötürü pek çok kişiyle dost olunamaz: İstenecek bir şey ama bu tür pek az kişi bulunabilir.

Acaba iyi günlerde mi, yoksa kötü günlerde mi dostlara daha çok gerek var? Nitekim heriki durumda da aranıyorlar:Talihsizliğe uğrayanlar yardıma gerek duyuyor, talihliler ise iyilik yapacakları yaşam arkadaşlarına, çünkü berikiler iyi bir şey yapmak ister. Demek ki, talihsizliklerde daha zorunlu; bunun için beriki durumda yararlı kişilere gerek olur; talihli durumlarda ise daha güzel. Bunun için insanlar doğru kişiler arar, çünkü onlara iyilik yapmak ve onlarla zaman geçirmek daha çok tercih edilen bir şey. Dostların varlığı gerek iyi günlerde, gerekse kötü günlerde kendi başına da hoş; çünkü acı çekenler dostları da onlarla birlikte acı çekince teselli bulur. Bunun için, acaba dostlar ağırlığın bir parçasını üzerlerinden aldıklarınadan ötürü mü, yoksa bundan değil de, onların varlığı hoş olduğu için ve birlikte acı çekmenin verdiği duygu acıyı daha aza indirdiği için mi bu böyle, diye sorulsa gerek. Ne ki, bununla mı yoksa başka bir nedenle mi teselli buluyorlar, sorusunu

ἀφείσθω· συμβαίνειν δ' οὖν φαίνεται τὸ λεχθέν. ἔοικε δ' 8
ἡ παρουσία μικτή τις αὐτῶν εἶναι. αὐτὸ μὲν γὰρ τὸ ὁρᾶν
1171[b] τοὺς φίλους ἡδύ, ἄλλως τε καὶ ἀτυχοῦντι, καὶ γίνεταί τις
ἐπικουρία πρὸς τὸ μὴ λυπεῖσθαι (παραμυθητικὸν γὰρ ὁ φίλος
καὶ τῇ ὄψει καὶ τῷ λόγῳ, ἐὰν ᾖ ἐπιδέξιος· οἶδε γὰρ τὸ ἦθος
καὶ ἐφ' οἷς ἥδεται καὶ λυπεῖται)· τὸ δὲ λυπούμενον αἰσθά- 4
νεσθαι ἐπὶ ταῖς αὑτοῦ ἀτυχίαις λυπηρόν· πᾶς γὰρ φεύγει
λύπης αἴτιος εἶναι τοῖς φίλοις. διόπερ οἱ μὲν ἀνδρώδεις τὴν
φύσιν εὐλαβοῦνται συλλυπεῖν τοὺς φίλους αὑτοῖς, κἂν μὴ
ὑπερτείνῃ τῇ ἀλυπίᾳ, τὴν ἐκείνοις γινομένην λύπην οὐχ ὑπο-
μένει, ὅλως τε συνθρήνους οὐ προσίεται διὰ τὸ μηδ' αὐτὸς
εἶναι θρηνητικός· γύναια δὲ καὶ οἱ τοιοῦτοι ἄνδρες τοῖς συ-
στένουσι χαίρουσι, καὶ φιλοῦσιν ὡς φίλους καὶ συναλγοῦντας.
μιμεῖσθαι δ' ἐν ἅπασι δεῖ δῆλον ὅτι τὸν βελτίω. ἡ δ' ἐν 5
ταῖς εὐτυχίαις τῶν φίλων παρουσία τήν τε διαγωγὴν ἡδεῖαν
ἔχει καὶ τὴν ἔννοιαν ὅτι ἥδονται ἐπὶ τοῖς αὑτοῦ ἀγαθοῖς.
διὸ δόξειεν ἂν δεῖν εἰς μὲν τὰς εὐτυχίας καλεῖν τοὺς φίλους
προθύμως (εὐεργετικὸν γὰρ εἶναι καλόν), εἰς δὲ τὰς ἀτυ-
χίας ὀκνοῦντα· μεταδιδόναι γὰρ ὡς ἥκιστα δεῖ τῶν κακῶν,
ὅθεν τὸ "ἄλις ἐγὼ δυστυχῶν." μάλιστα δὲ παρακλητέον
ὅταν μέλλωσιν ὀλίγα ὀχληθέντες μεγάλ' αὐτὸν ὠφελήσειν.
εἶναι δ' ἀνάπαλιν ἴσως ἁρμόζει πρὸς μὲν τοὺς ἀτυχοῦντας 6
ἄκλητον καὶ προθύμως (φίλου γὰρ εὖ ποιεῖν, καὶ μάλιστα
τοὺς ἐν χρείᾳ καὶ [τὸ] μὴ ἀξιώσαντας· ἀμφοῖν γὰρ κάλλιον
καὶ ἥδιον), εἰς δὲ τὰς εὐτυχίας συνεργοῦντα μὲν προθύμως
(καὶ γὰρ εἰς ταῦτα χρεία φίλων), πρὸς εὐπάθειαν δὲ σχο-
λαίως· οὐ γὰρ καλὸν τὸ προθυμεῖσθαι ὠφελεῖσθαι. δόξαν
δ' ἀηδίας ἐν τῷ διωθεῖσθαι ἴσως εὐλαβητέον· ἐνίοτε γὰρ

1171[b] 6. διόπερ—7. αὐτοῖς fort. infra post 10. θρηνητικός ponenda 14. ἔννοιαν Γ : εὔνοιαν codd. 16. εὐεργετητικὸν O[b] 21. fort. ⟨τὸ⟩ εὖ 22. τὸ] τοῦτο Γ : om. M[b] ἀξιώσαντος K[b]

bırakalım. Kısaca, söylenen şey oluyor, görünen bu! Onların varlığı ise karmaşık bir şeye benziyor: Dostları görmek hoş ama talihsiz biri için özellikle hoş; acıyla ilgili olarak da bir yardım oluşuyor (nitekim dost, yapabildiğince, varlığıyla ve sözleriyle teselli eder, çünkü o karakterini, neden hoşlanıp neden acı çektiğini bilir). Öte yandan bizim talihsizliklerimiz yüzünden bir dostun acı çektiğini hissetmek acı verici; herkes dostlar için bir acı nedeni olmaktan kaçınır. Bundan ötürü, doğa gereği cesur kişi, kendisi acıya katlanamasa bile, kendisiyle birlikte dostlarının acı çekmesine razı olmaz; onlar için acı veren bir şey olmaya dayanamaz. Aslında kendisi yakınan biri olamadığından ötürü, yakınan kişilere pek yanaşmaz. Kadınlar ve kadınsı adamlar ise kendilerine destek olan kişilerden hoşlanır, birlikte acı çekenleri dost gibi sever. Demek her durumda daha iyiye öykünmek gerekir, bu açık. İyi günlerde dostların varlığı bizim yaşamımızı hoş kılar; onların da bizim iyiliğimizden hoşnut olduklarını hissettirir. Bunun için iyi günlerde dostları gönülden çağırmak (iyilik yapmak güzel), kötü günlerde ise onları istemeye istemeye çağırmak gerekli görülse gerek: Onları bizim talihsizliklerimize olabildiğince az ortak etmeli; bunun için "bir tek benim mutsuz olmam yeter" denegelmiştir. Ne ki, küçük bir özveriyle bize çok yardımları dokunacaksa onları çağırmalı. Talihsizliğe uğrayanlara ise çağrılmadan, seve seve koşmak uygun (çünkü iyilik yapmak dostun görevi, beklemeseler bile en çok gereksinimde olanlara: Çünkü heriki durumda da daha güzel, daha hoş); talihli kişilere ise yalnızca iş bölümü yapmak için koşa koşa gitmeli (bu bakımdan da dostlara gerek var), ama iyilik görmeye ayaklarını sürüyerek, çünkü iyilik görmeye can atmak güzel değil. Yine de yardımı geri çevirerek "musibet, yanına yanaşılmaz" ününü de herhalde kazanmamak gerekiyor. Kimi kez bu

35 1171b 5 10 15 20 25

συμβαίνει. ἡ παρουσία δὴ τῶν φίλων ἐν ἅπασιν αἱρετὴ φαίνεται.

XII. Ἆρ' οὖν, ὥσπερ τοῖς ἐρῶσι τὸ ὁρᾶν ἀγαπητότατόν ἐστι καὶ μᾶλλον αἱροῦνται ταύτην τὴν αἴσθησιν ἢ τὰς λοιπὰς ὡς κατὰ ταύτην μάλιστα τοῦ ἔρωτος ὄντος καὶ γινομένου, οὕτω καὶ τοῖς φίλοις αἱρετώτατόν ἐστι τὸ συζῆν; κοινωνία γὰρ ἡ φιλία, καὶ ὡς πρὸς ἑαυτὸν ἔχει, οὕτω καὶ πρὸς τὸν φίλον· περὶ αὐτὸν δ' ἡ αἴσθησις ὅτι ἔστιν αἱρετή, καὶ περὶ τὸν φίλον δή· ἡ δ' ἐνέργεια γίνεται αὐτῆς ἐν τῷ συζῆν, 12 30 35

2 ὥστ' εἰκότως τούτου ἐφίενται. καὶ ὅ ποτ' ἐστὶν ἑκάστοις τὸ εἶναι ἡ οὗ χάριν αἱροῦνται τὸ ζῆν, ἐν τούτῳ μετὰ τῶν φίλων βούλονται διάγειν· διόπερ οἱ μὲν συμπίνουσιν, οἱ δὲ συγκυβεύουσιν, ἄλλοι δὲ συγγυμνάζονται καὶ συγκυνηγοῦσιν ἢ συμφιλοσοφοῦσιν, ἕκαστοι ἐν τούτῳ συνημερεύοντες ὅ τι περ μάλιστ' ἀγαπῶσι τῶν ἐν τῷ βίῳ· συζῆν γὰρ βουλόμενοι μετὰ τῶν φίλων, ταῦτα ποιοῦσι καὶ τούτων κοινωνοῦσιν 1172ᵃ 5

3 οἷς οἴονται συζῆν. γίνεται οὖν ἡ μὲν τῶν φαύλων φιλία μοχθηρά (κοινωνοῦσι γὰρ φαύλων ἀβέβαιοι ὄντες, καὶ μοχθηροὶ δὲ γίνονται ὁμοιούμενοι ἀλλήλοις), ἡ δὲ τῶν ἐπιεικῶν ἐπιεικής, συναυξανομένη ταῖς ὁμιλίαις· δοκοῦσι δὲ καὶ βελτίους γίνεσθαι ἐνεργοῦντες καὶ διορθοῦντες ἀλλήλους· ἀπομάττονται γὰρ παρ' ἀλλήλων οἷς ἀρέσκονται, ὅθεν "ἐσθλῶν 10

4 μὲν γὰρ ἄπ' ἐσθλά." περὶ μὲν οὖν φιλίας ἐπὶ τοσοῦτον εἰρήσθω· ἑπόμενον δ' ἂν εἴη διελθεῖν περὶ ἡδονῆς. 15

K.

Μετὰ δὲ ταῦτα περὶ ἡδονῆς ἴσως ἕπεται διελθεῖν. μά-

27. δὲ Mᵇ : δ' ἡ Kᵇ 35. αὐτοῖς Aretinus 1172ᵃ 1. ὅ] ὅ τι Mᵇ 8. οἷς οἴονται] ὡς οἷόν τε Kᵇ συζῆν] εὖ ζῆν coni. Bekker 14. ἐπὶ om. Kᵇ

oluyor. İmdi her durumda dostların varlığı tercih edilecek bir şey.

İmdi acaba nasıl aşıklar için görmek en çok istenen şeyse; aşk en çok bunda ve bundan doğduğundan ötürü, bu duyumu bütün ötekilerden daha çok tercih ediyorlarsa, aynı şekilde dostlar için de en çok tercih edilecek şey, birlikte yaşamak mı? Dostluk bir ilişki; biri kendine karşı nasılsa dostuna karşı da öyle. Kendimizle ilgili varlık tercih edilecek bir duyum; demek ki dost ile ilgili olarak da öyle. Bu duygunun etkinliği birlikte yaşamakla oluşur, dolayısıyla bunun aranması usa uygun. Herbir kişi varolmayı ya da yaşamayı ne adına tercih ediyorsa, onda dostlarla birlikte yaşamak ister. Bunun için kimi birlikte içer, kimi birlikte zar atar, kimi birlikte spor yapar, avlanır ya da felsefe yapar: Herkes yaşamda en çok sevdiği şeyle gününü geçirir. Dostlarla birlikte yaşamak istedikleri için bunları yapar ve birlikte ne ile zaman geçireceklerini düşünüyorlarsa onlara katılır. Demek ki, kötü kişilerin dostluğu kötü olur (nitekim onlar sağlam olmadıklarından kötü şeylere katılırlar, biribirlerine benzeyerek kötü olurlar), oysa doğru kişilerinki doğru olur ve onlarla ilişkilerde bu olgunluk pekişir. Hatta etkinliklerini uygulayarak, biribirlerini düzelterek daha da iyi oldukları görünür. Biribirlerinin hoşuna gidenleri öğrenirler: Bu nedenle "soylulardan soyluca şeyler kazanılır"[78] denmiştir. İmdi dostluk üzerine söylediklerimiz yeter. Şimdi haz üzerine konuşarak yol alalım.

ONUNCU KİTAP

Bunlardan sonra hazdan sözederek konuyu sürdürelim. Bizim

λιστα γὰρ δοκεῖ συνφκειῶσθαι τῷ γένει ἡμῶν, διὸ παιδεύουσι τοὺς νέους οἰακίζοντες ἡδονῇ καὶ λύπῃ· δοκεῖ δὲ καὶ πρὸς τὴν τοῦ ἤθους ἀρετὴν μέγιστον εἶναι τὸ χαίρειν οἷς δεῖ καὶ μισεῖν ἃ δεῖ. διατείνει γὰρ ταῦτα διὰ παντὸς τοῦ βίου, ῥοπὴν ἔχοντα καὶ δύναμιν πρὸς ἀρετήν τε καὶ τὸν εὐδαίμονα βίον· τὰ μὲν γὰρ ἡδέα προαιροῦνται, τὰ δὲ λυπηρὰ φεύγουσιν· ὑπὲρ δὲ τῶν τοιούτων ἥκιστ' ἂν δόξειε παρετέον εἶναι, 2 ἄλλως τε καὶ πολλὴν ἐχόντων ἀμφισβήτησιν. οἱ μὲν γὰρ τἀγαθὸν ἡδονὴν λέγουσιν, οἱ δ' ἐξ ἐναντίας κομιδῇ φαῦλον, οἱ μὲν ἴσως πεπεισμένοι οὕτω καὶ ἔχειν, οἱ δὲ οἰόμενοι βέλτιον εἶναι πρὸς τὸν βίον ἡμῶν ἀποφαίνειν τὴν ἡδονὴν τῶν φαύλων, καὶ εἰ μὴ ἐστίν· ῥέπειν γὰρ τοὺς πολλοὺς πρὸς αὐτὴν καὶ δουλεύειν ταῖς ἡδοναῖς, διὸ δεῖν εἰς τοὐναντίον ἄγειν· ἐλθεῖν γὰρ ἂν οὕτως ἐπὶ τὸ μέσον. μή ποτε δὲ οὐ 3 καλῶς τοῦτο λέγεται. οἱ γὰρ περὶ τῶν ἐν τοῖς πάθεσι καὶ ταῖς πράξεσι λόγοι ἧττόν εἰσι πιστοὶ τῶν ἔργων· ὅταν οὖν διαφωνῶσι τοῖς κατὰ τὴν αἴσθησιν, καταφρονούμενοι καὶ 1172 b τἀληθὲς προσαναιροῦσιν· ὁ γὰρ ψέγων τὴν ἡδονήν, ὀφθείς ποτ' ἐφιέμενος, ἀποκλίνειν δοκεῖ πρὸς αὐτὴν ὡς τοιαύτην οὖσαν ἅπασαν· τὸ διορίζειν γὰρ οὐκ ἔστι τῶν πολλῶν. ἐοί- 4 κασιν οὖν οἱ ἀληθεῖς τῶν λόγων οὐ μόνον πρὸς τὸ εἰδέναι χρησιμώτατοι εἶναι, ἀλλὰ καὶ πρὸς τὸν βίον· συνῳδοὶ γὰρ ὄντες τοῖς ἔργοις πιστεύονται, διὸ προτρέπονται τοὺς συνιέντας ζῆν κατ' αὐτούς. τῶν μὲν οὖν τοιούτων ἅλις· τὰ δ' εἰρημένα περὶ τῆς ἡδονῆς ἐπέλθωμεν.

2 Εὔδοξος μὲν οὖν τὴν ἡδονὴν τἀγαθὸν ᾤετ' εἶναι διὰ τὸ **II.** πάνθ' ὁρᾶν ἐφιέμενα αὐτῆς, καὶ ἔλλογα καὶ ἄλογα, ἐν πᾶσι δ' εἶναι τὸ αἱρετὸν τὸ ἐπιεικές, καὶ τὸ μάλιστα κράτιστον· τὸ δὴ πάντ' ἐπὶ ταὐτὸ φέρεσθαι μηνύειν ὡς πᾶσι τοῦτο ἄρι-

22. ἀρχὴν K^b M^b 26. δὴ M^b 1172 b 11. τὸ ante ἐπιεικές add. K^b 12. δὴ K^b: δὲ vulg. ταῦτα K^b τοῦτο om. L^b Γ

cinsimizle son derece içiçe olduğu görünüyor, bunun için gençleri eğitenler onlara haz ve acı ile yön veriyor. Öyle görünüyor ki, karakter erdemiyle ilgili en önemli şey gerekenden hoşlanmak, gerekenden nefret etmek. Bunlar erdemle, mutlu bir yaşamla ilgi içinde güç, olanak taşıdıklarından ötürü bütün yaşam boyunca etkili oluyorlar, çünkü insanlar hoş şeyleri tercih ediyor, acı verenlerden kaçıyor. Özellikle pek çok tartışmaya yol açan bu tür konulardan sözetmeden geçmemeli: Kimi, hazzın 'iyi' olduğunu söylüyor, kimi tam karşıtı büsbütün kötü olduğunu. Berikilerden kimi herhalde öyle olduğuna gerçekten inandıklarından, kimi de öyle olmasa da, bizim yaşamımız için hazzı kötü göstermenin daha iyi olacağını düşündüklerinden ötürü bunu ileri sürüyor. Nitekim çoğunluk ona eğilimli, hazların kölesi; bunun için onları karşı tarafa geçirmek gerekiyor, böylece ***orta***ya gidilecektir. Ne ki bu uslamlama doğru olmayabilir, çünkü tutku ile eylemler konusunda sözler işlerden daha az inandırıcı olur. İnsanlar duyuma göre olanlarda aykırı düştüklerinde aşağılandıkları için doğruyu da saptırıyor. Hazzı aşağılayan kişinin onun peşinde koştuğu görülürse, bu tür her şey gibi buna da eğilimli olduğu düşünülecektir. Belirleme yapmak ise çoğunluğun işi değil. İmdi şu görülüyor: Uslamlamalardaki doğruluklar yalnız bilmek için değil, yaşam için de son derece yararlı. Nitekim insanlar yapıp ettiklerinde tutarlı olduklarında güven verirler, onları izleyerek yaşamayı düşünenlere bundan ötürü yön verebilirler. Ama bunlar üzerine bu kadar yeter, haz konusunda söylenenlere gelelim.

Eudoksos hem akıllı hem de akıldan yoksun her canlının ona yöneldiğini gördüğünden ötürü, hazzın 'iyi' olduğuna; her şey içinde doğru olanın tercih edilir şey olduğuna, en çok da en güçlü şeyin tercih edildiğine inanıyordu. O herkesin aynı şeye yönelmesinin, bu şeyin en iyi olması anlamına geldiğini

στον ὄν (ἕκαστον γὰρ τὸ αὑτῷ ἀγαθὸν εὑρίσκειν, ὥσπερ καὶ τροφήν), τὸ δὲ πᾶσιν ἀγαθόν, καὶ οὗ πάντ' ἐφίεται, τἀγαθὸν εἶναι. ἐπιστεύοντο δ' οἱ λόγοι διὰ τὴν τοῦ ἤθους ἀρετὴν 15
μᾶλλον ἢ δι' αὑτούς· διαφερόντως γὰρ ἐδόκει σώφρων εἶναι· οὐ δὴ ὡς φίλος τῆς ἡδονῆς ἐδόκει ταῦτα λέγειν, ἀλλ' οὕτως
2 ἔχειν κατ' ἀλήθειαν. οὐχ ἧττον δ' ᾧετ' εἶναι φανερὸν ἐκ τοῦ ἐναντίου· τὴν γὰρ λύπην καθ' αὑτὸ πᾶσι φευκτὸν εἶναι, ὁμοίως δὴ τοὐναντίον αἱρετόν· μάλιστα δ' εἶναι αἱρετὸν ὃ μὴ 20
δι' ἕτερον μηδ' ἑτέρου χάριν αἱρούμεθα· τοιοῦτο δ' ὁμολογουμένως εἶναι τὴν ἡδονήν· οὐδένα γὰρ ἐπερωτᾶν τίνος ἕνεκα ἥδεται, ὡς καθ' αὑτὴν οὖσαν αἱρετὴν τὴν ἡδονήν. προστιθεμένην τε ὀτῳοῦν τῶν ἀγαθῶν αἱρετώτερον ποιεῖν, οἷον τῷ δικαιοπραγεῖν καὶ σωφρονεῖν, αὔξεσθαι δὲ τὸ ἀγαθὸν αὑτῷ. 25
3 ἔοικε δὴ οὗτός γε ὁ λόγος τῶν ἀγαθῶν αὐτὴν ἀποφαίνειν, καὶ οὐδὲν μᾶλλον ἑτέρου· πᾶν γὰρ μεθ' ἑτέρου ἀγαθοῦ αἱρετώτερον ἢ μονούμενον. τοιούτῳ δὴ λόγῳ καὶ Πλάτων ἀναιρεῖ ὅτι οὐκ ἔστιν ἡδονὴ τἀγαθόν· αἱρετώτερον γὰρ εἶναι τὸν ἡδὺν βίον μετὰ φρονήσεως ἢ χωρίς, εἰ δὲ τὸ μικτὸν 30
κρεῖττον, οὐκ εἶναι τὴν ἡδονὴν τἀγαθόν· οὐδενὸς γὰρ προστεθέντος αὐτῷ τἀγαθὸν αἱρετώτερον γίνεσθαι. δῆλον δ' ὡς οὐδ' ἄλλο οὐδὲν τἀγαθὸν ἂν εἴη, ὃ μετά τινος τῶν καθ' αὑτὸ
4 ἀγαθῶν αἱρετώτερον γίνεται. τί οὖν ἐστὶ τοιοῦτον, οὗ καὶ ἡμεῖς κοινωνοῦμεν; τοιοῦτον γὰρ ἐπιζητεῖται. οἱ δ' ἐνιστά- 35
μενοι ὡς οὐκ ἀγαθὸν οὗ πάντ' ἐφίεται, μὴ οὐθὲν λέγουσιν. ἃ γὰρ πᾶσι δοκεῖ, ταῦτ' εἶναί φαμεν· ὁ δ' ἀναιρῶν ταύτην τὴν 1173
πίστιν οὐ πάνυ πιστότερα ἐρεῖ. εἰ μὲν γὰρ τὰ ἀνόητα ὀρέγεται

---

13. ὄν om. L^b Γ 14. δὲ Heliodorus: δὴ codd. 24. τῶν ἀγαθῶν] ἀγαθὸν K^b 25. ante αὔξεσθαι add. καὶ M^b δὲ Ramsauer: δὴ codd. αὑτῷ] αὐτὸ αὑτῷ M^b 26. δὲ Γ 32. αὐτὸ pr. K^b 36. λέγωσιν K^b M^b ἃ] ὃ L^b Γ 1173ª 1. τοῦτ' L^b Γ 2. εἰ] fort. ᾗ ὀρέγεται L^b

(beslenmede de olduğu gibi, her kişinin kendisi için iyi olanı bulduğunu); dolayısıyla herkesin yöneldiği şeyin, herkes için en iyi olan şeyin 'iyi' olduğunu düşünüyordu. Onun bu sözlerine, sözlerinin değerinden çok, karakterinin erdemi dolayısıyla inanılıyordu: Çünkü son derece ölçülü biri olduğu düşünülürdü. Dolayısıyla onun bunları, hazzın dostu olduğu için değil, gerçekten böyle olduğu için söylediği sanılıyordu. Eudoksos karşıt bir uslamlama ile de bunun daha az açık olmadığını düşünüyordu: Acı, kendi başına, herkesce kaçınılması gereken bir şey; aynı şekilde karşıtı da tercih edilmesi gereken bir şey olacaktır. Yine bir başka şeyden ötürü, bir başka şey adına tercih etmediğimiz şey en çok tercih edilesi olandır; hazzın böyle olduğunda uzlaşılır, haz kendi bakımından tercih edildiğinden ötürü hiç kimse hangi amaçla haz aldığını sormaz. Ama öte yandan, bir 'iyi'ye herhangi bir iyi eklenince, sözgelişi adil davranmaya ölçülü olma eklenince, onu daha tercih edilir kılar. Oysa 'iyi', kendi başına artar. Demek ki bu uslamlama hazzın bir 'iyi' olduğunu, ama başka bir 'iyi'den daha iyi de olmadığını gösteriyor. Çünkü her 'iyi' başlıbaşına 'iyi' değilse, başka iyinin katılmasıyla daha tercih edilir olur. Kaldı ki Platon, bu tür bir uslamlama ile hazzın bir 'iyi' olmadığını belirlemiştir:[79] Aklıbaşındalıkla birlikte giden hoş yaşamın ondan ayrı olmasından daha tercih edilir olduğunu, bu birleşik olan daha iyi ise, hazzın bir 'iyi' olmadığını; çünkü 'iyi'nin kendisinin bir şey eklenmeden daha tercih edilir olduğunu söyler O. Açık ki, kendi başına iyi olanlardan herhangi biri ile birlikte daha tercih edilir hale gelen başka hiçbir şey de 'iyi' olmaz. İmdi bizim pay alabileceğimiz bu tür bir iyi ne? Biz işte bu tür bir şeyi araştırıyoruz. Ne ki, herkesin peşine düştüğü şeyin 'iyi' olmadığında direnenler, anlamlı konuşmuyor, çünkü herkesin öyle olduğunu düşündüğü şeylerin öyle olduğunu ileri sürüyoruz. Bu inancı ortadan kaldıran kişi, daha inandırıcı bir şey söyleyemeyecektir. Nitekim yalnızca akıldan yoksun varlıklar onlara iştah duysa,

αὐτῶν, ἦν ἄν τι λεγόμενον, εἰ δὲ καὶ τὰ φρόνιμα, πῶς λέγοιεν ἄν τι; ἴσως δὲ καὶ ἐν τοῖς φαύλοις ἔστι τι φυσικὸν ἀγαθὸν κρεῖττον ἢ καθ' αὑτά, ὃ ἐφίεται τοῦ οἰκείου ἀγαθοῦ. οὐκ ἔοικε δὲ οὐδὲ περὶ τοῦ ἐναντίου καλῶς λέγεσθαι. οὐ γάρ φασιν, εἰ ἡ λύπη κακόν ἐστι, τὴν ἡδονὴν ἀγαθὸν εἶναι· ἀντικεῖσθαι γὰρ καὶ κακὸν κακῷ καὶ ἄμφω τῷ μηδετέρῳ — λέγοντες ταῦτα οὐ κακῶς, οὐ μὴν ἐπί γε τῶν εἰρημένων ἀληθεύοντες. ἀμφοῖν γὰρ ὄντοιν ⟨τῶν⟩ κακῶν καὶ φευκτὰ ἔδει ἄμφω εἶναι, τῶν μηδετέρων δὲ μηδέτερον ἢ ὁμοίως· νῦν δὲ φαίνονται τὴν μὲν φεύγοντες ὡς κακόν, τὴν δ' αἱρούμενοι ὡς ἀγαθόν· οὕτω δὴ καὶ ἀντίκειται. Οὐ μὴν οὐδ' εἰ μὴ τῶν ποιοτήτων III. ἐστὶν ἡ ἡδονή, διὰ τοῦτ' οὐδὲ τῶν ἀγαθῶν· οὐδὲ γὰρ αἱ τῆς ἀρετῆς ἐνέργειαι ποιότητές εἰσιν, οὐδ' ἡ εὐδαιμονία. λέγουσι 2 δὲ τὸ μὲν ἀγαθὸν ὡρίσθαι, τὴν δ' ἡδονὴν ἀόριστον εἶναι, ὅτι δέχεται τὸ μᾶλλον καὶ [τὸ] ἧττον. εἰ μὲν οὖν ἐκ τοῦ ἥδεσθαι τοῦτο κρίνουσι, καὶ περὶ τὴν δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετάς, καθ' ἃς ἐναργῶς φασὶ μᾶλλον καὶ ἧττον τοὺς ποιοὺς ὑπάρχειν καὶ ⟨πράττειν⟩ κατὰ τὰς ἀρετάς, ἔσται ταὐτά· δίκαιοι γάρ εἰσι μᾶλλον καὶ ἀνδρεῖοι, ἔστι δὲ καὶ δικαιοπραγεῖν καὶ σωφρονεῖν μᾶλλον καὶ ἧττον. εἰ δὲ ταῖς ἡδοναῖς, μή ποτ' οὐ λέγουσι τὸ αἴτιον, ἂν ὦσιν αἱ μὲν ἀμιγεῖς αἱ δὲ μικταί. καὶ 3 τί κωλύει, καθάπερ ὑγίεια ὡρισμένη οὖσα δέχεται τὸ μᾶλλον καὶ [τὸ] ἧττον, οὕτω καὶ τὴν ἡδονήν; οὐ γὰρ ἡ αὐτὴ συμμετρία ἐν πᾶσίν ἐστιν, οὐδ' ἐν τῷ αὐτῷ μία τις ἀεί, ἀλλ'

---

3. ante λεγόμενον add. τὸ Γ εἰ] fort. ᾗ καὶ om. K^b M^b 4. φυσικὸν ἀγαθὸν fort. secludenda 8. καὶ post γὰρ add. L^b Γ μηδετέρῳ Γ: μηδέτερα K^b L^b: μηδέτερον M^b 9. ταῦτα δ' οὐ K^b Γ 10. γὰρ] μὲν γὰρ L^b ὄντων K^b τῶν addidi 11. μηδέτερον] ἢ ἕτερον K^b Γ 13. ἀντίκεινται M^b 14. ἡ om. K^b 17. τὸ om. L^b 20. καὶ om. K^b πράττειν add. Vahlen ταῦτα K^b M^b: τὸ αὐτὸ L^b Γ 22. δὲ K^b: δ' ἐν vulg. 23. καὶ τί κωλύεται K^b: τί δὲ κωλύει Γ: τί κωλύει δὲ L^b: τί γὰρ κωλύει M^b 25. τὸ om. O^b

bu söylenenin bir anlamı olurdu, ama aklı başında varlıklar da iştah duyuyorsa, bu söylenenin ne anlamı olabilir? Belki erdemsiz varlıklarda bile, onlara özgü bir iyi arayan, kendi başına daha güçlü doğal bir 'iyi' var. Yine karşıt görüşle ilgili olarak da onların pek yerinde konuşmadığı görülüyor: Onlar "acı kötü ise, haz iyidir" demeyip "kötü kötüye karşıt olabilir, herikisi de kötü ya da iyi olmayan bir şeye karşıt olabilir" derken pek yersiz konuşmuyorlar.-ama yine de sözünü ettiğimiz konularda söyledikleri doğru değil. Çünkü herikisi de <hem haz hem de acı> kötü olsa, herikisinin de kaçılacak şey olması gerekir; herikisi de kaçılacak şey değilse, ikisinden hiçbiri de kaçılacak şey olmaz, ya da aynı ölçüde kaçılacak şeyler olurlar. İmdi şu açık: Biz birinden bir 'kötü' diye kaçıyoruz, ötekini bir 'iyi' diye tercih ediyoruz. Demek ki, onlar bu anlamda karşıt. Ne ki, "haz bir nitelik olmadığından ötürü 'iyi' değildir" de denemez. Çünkü ne erdemin etkinlikleri niteliktir ne de mutluluk. Ayrıca 'iyi"nin sınırlandırılmış olduğunu, hazzın ise az ya da çok olabilmesinden ötürü sınırlanmamış olduğunu ileri sürerler. Ama hoşlanma derecesinden yola çıkarak bu biçimde değerlendirilirse, bu, adalet ile öteki erdemler için de geçerli olur: Onlara ilişkin olarak da açıkca insanların daha az ya da daha çok nitelik taşıdıkları, erdemlere uygun iş gördükleri ileri sürülür. Nitekim daha adil, daha yiğit olunabiliyor; daha az ya da daha çok adil, ölçülü davranılabiliyor. Bu hazlarda da gözleniyorsa bile, yine de nedeni söylemiş olmuyorlar, çünkü kimi hazlar saf kimi de katışık. Nasıl sağlık belirli bir şey olmasına karşın daha az ya da daha çok olabiliyorsa, hazzın da böyle olmasına ne engel var? Nitekim sağlık herkeste aynı oranda değil, aynı kişide bile her zaman belli bir oranda değil, tersine

ἀνιεμένη διαμένει ἕως τινός, καὶ διαφέρει τῷ μᾶλλον καὶ ἧττον. τοιοῦτον δὴ καὶ τὸ περὶ τὴν ἡδονὴν ἐνδέχεται εἶναι.
4 τέλειόν τε τἀγαθὸν τιθέντες, τὰς δὲ κινήσεις καὶ τὰς γενέσεις ἀτελεῖς, τὴν ἡδονὴν κίνησιν καὶ γένεσιν ἀποφαίνειν πειρῶνται. οὐ καλῶς δ' ἐοίκασι λέγειν οὐδ' εἶναι κίνησιν. πάσῃ γὰρ οἰκεῖον εἶναι δοκεῖ τάχος καὶ βραδυτής, καὶ εἰ μὴ καθ' αὑτήν, οἷον τῇ τοῦ κόσμου, πρὸς ἄλλο· τῇ δ' ἡδονῇ τούτων οὐδέτερον ὑπάρχει. ἡσθῆναι μὲν γὰρ ἔστι ταχέως ὥσπερ ὀργισθῆναι, ἥδεσθαι δ' οὔ, οὐδὲ πρὸς ἕτερον, βαδίζειν δὲ καὶ 1173b αὐξεσθαι καὶ πάντα τὰ τοιαῦτα. μεταβάλλειν μὲν οὖν εἰς τὴν ἡδονὴν ταχέως καὶ βραδέως ἔστιν, ἐνεργεῖν δὲ κατ' αὐτὴν
5 οὐκ ἔστι ταχέως, λέγω δ' ἥδεσθαι. γένεσίς τε πῶς ἂν εἴη; δοκεῖ γὰρ οὐκ ἐκ τοῦ τυχόντος τὸ τυχὸν γίνεσθαι, ἀλλ' ἐξ οὗ γίνεται, εἰς τοῦτο διαλύεσθαι· καὶ οὗ γένεσις ἡ ἡδονή, τού-
6 του ἡ λύπη φθορά. καὶ λέγουσι δὲ τὴν μὲν λύπην ἔνδειαν τοῦ κατὰ φύσιν εἶναι, τὴν δ' ἡδονὴν ἀναπλήρωσιν. ταῦτα δὲ σωματικά ἐστι τὰ πάθη. εἰ δή ἐστι τοῦ κατὰ φύσιν ἀναπλήρωσις ἡ ἡδονή, ἐν ᾧ ἡ ἀναπλήρωσις, τοῦτ' ἂν καὶ ἥδοιτο· τὸ σῶμα ἄρα· οὐ δοκεῖ δέ· οὐδ' ἔστιν ἄρα ἡ ἀναπλήρωσις ἡδονή, ἀλλὰ γινομένης μὲν ἀναπληρώσεως ἥδοιτ' ἄν τις, καὶ †τεμνόμενος† λυποῖτο. ἡ δόξα δ' αὕτη δοκεῖ γεγενῆσθαι ἐκ τῶν περὶ τὴν τροφὴν λυπῶν καὶ ἡδονῶν· ἐνδεεῖς γὰρ γενο-
7 μένους καὶ προλυπηθέντας ἥδεσθαι τῇ ἀναπληρώσει. τοῦτο δ' οὐ περὶ πάσας συμβαίνει τὰς ἡδονάς· ἄλυποι γάρ εἰσιν αἵ τε μαθηματικαὶ καὶ τῶν κατὰ τὰς αἰσθήσεις αἱ διὰ τῆς ὀσφρήσεως, καὶ ἀκροάματα δὲ καὶ ὁράματα πολλὰ καὶ μνῆμαι καὶ ἐλπίδες. τίνος οὖν αὗται γενέσεις ἔσονται; οὐδενὸς

---

27. ἀνειμένη K^b 31. κινήσεις K^b 33. τῇ τοῦ K^b: τὸ τοῦ vulg.
1173b 5. γενέσθαι K^b 10. ἡ post ᾧ add. L^b 11. οὐδ'] οὐκ L^b Γ ἀναπλήρωσις ἡ ἡδονή L^b 12. τεμνόμενος] fort. ⟨ἐνδεὴς⟩ γινόμενος
14. γενομένους M^b: γινομένους vulg. 18. πολλὰ K^b: πολλαὶ δὲ vulg.

belli bir dereceye kadar esneklik taşıyor, daha çok ve daha az olmakla farklı. Öyleyse haz konusunda da böyle olması olası. Öte yandan 'iyi'yi tam, devinimleri, oluşları ise tam olmayan şeyler olarak anlayanlar, hazzı bir devinim ve oluş diye göstermeye çalışıyorlar; ama hazzın bir devinim olduğunu ileri sürmek pek yerinde görünmüyor. Çünkü öyle görünüyor ki, her devinime özgü bir hızlılık ve yavaşlık var; kendi başına olmasa da, bir başkasına göre, sözgelişi evrenin devinimi açısından, bu böyle. Oysa hazda bunlardan hiçbiri bulunmaz: Öfkelenmekte de olduğu gibi, çabucak sevinmek olanaklı, ama çabucak haz almak; yürümek, büyümek vb. gibi şeylerde olduğu gibi, bir başkasına bağlı düşünülse de olanaksız. İmdi hazza yönelmek hızlı ya da yavaş olabilir, ama haz içinde etkinlikte olmak, yani haz almak hızlı olamaz. Öte yandan nasıl haz bir oluş olabilir? Çünkü gelişigüzel bir şeyden gelişigüzel bir şey oluşmuyor, tersine nesne neden oluşuyorsa onda yokoluyor; haz bir oluş olsa, hazzın oluşu olan şey, acının yokoluşu olurdu. "Acı, doğaya uygun bir şeyin eksikliği, haz ise bu eksikliğin doyurulmasıdır" da derler. Oysa bunlar bedenle ilgili duygulanımlar. İmdi haz doğaya uygun bir şeyin doyurulması olsa, doygunluk nede ise o haz verecektir - doygunluk da bedende -. Ama böyle görünmüyor. Demek ki, haz doygunluk değil, doygunluğun oluşması haz veriyor; olmayınca da acı. Öyle görünüyor ki, bu karı beslenme konusundaki haz ve acılar dolayısıyla oluşuyor: Nitekim yoksun olunca acı duyuluyor, doyunca haz. Ne ki bu, hazların hepsinde söz konusu değil: Bilgiye dayananlar, duyumla ilgili olanlar, yani koku alma, işitme, görme ile ilgili olanlar; anılar, umutlar acıdan bağımsız hazlar. Bunlar neyin oluşları olacak? Ondan

30

1173b

5

10

15

γὰρ ἔνδεια γεγένηται, οὗ γένοιτ' ἂν ἀναπλήρωσις. πρὸς δὲ 8
τοὺς προφέροντας τὰς ἐπονειδίστους τῶν ἡδονῶν λέγοι τις ἂν
ὅτι οὐκ ἔστι ταῦθ' ἡδέα (οὐ γὰρ εἰ τοῖς κακῶς διακειμένοις
ἡδέα ἐστίν, οἰητέον αὐτὰ καὶ ἡδέα εἶναι πλὴν τούτοις, καθάπερ
οὐδὲ τὰ τοῖς κάμνουσιν ὑγιεινὰ ἢ γλυκέα ἢ πικρά, οὐδ' αὖ
λευκὰ τὰ φαινόμενα τοῖς ὀφθαλμιῶσιν)· ἢ οὕτω λέγοι τις ἄν, 9
ὅτι αἱ μὲν ἡδοναὶ αἱρεταί εἰσιν, οὐ μὴν ἀπό γε τούτων, ὥσπερ
καὶ τὸ πλουτεῖν, προδόντι δ' οὔ, καὶ τὸ ὑγιαίνειν, οὐ μὴν ὁτιοῦν
φαγόντι· ἢ τῷ εἴδει διαφέρουσιν αἱ ἡδοναί· ἕτεραι γὰρ αἱ 10
ἀπὸ τῶν καλῶν τῶν ἀπὸ τῶν αἰσχρῶν, καὶ οὐκ ἔστιν ἡσθῆναι
τὴν τοῦ δικαίου μὴ ὄντα δίκαιον οὐδὲ τὴν τοῦ μουσικοῦ μὴ
ὄντα μουσικόν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐμφανίζειν δὲ 11
δοκεῖ καὶ ὁ φίλος ἕτερος ὢν τοῦ κόλακος οὐκ οὖσαν ἀγαθὸν
τὴν ἡδονὴν ἡ διαφόρους εἴδει· ὁ μὲν γὰρ πρὸς τἀγαθὸν ὁμι-
λεῖν δοκεῖ, ὁ δὲ πρὸς ἡδονήν, καὶ τῷ μὲν ὀνειδίζεται, τὸν δ'
1174ª ἐπαινοῦσιν ὡς πρὸς ἕτερα ὁμιλοῦντα. οὐδείς τ' ἂν ἕλοιτο ζῆν 12
παιδίου διάνοιαν ἔχων διὰ βίου, ἡδόμενος ἐφ' οἷς τὰ παιδία
ὡς οἷόν τε μάλιστα, οὐδὲ χαίρειν ποιῶν τι τῶν αἰσχίστων,
μηδέποτε μέλλων λυπηθῆναι. περὶ πολλά τε σπουδὴν ποιη-
σαίμεθ' ἂν καὶ εἰ μηδεμίαν ἐπιφέροι ἡδονήν, οἷον ὁρᾶν,
μνημονεύειν, εἰδέναι, τὰς ἀρετὰς ἔχειν. εἰ δ' ἐξ ἀνάγκης
ἕπονται τούτοις ἡδοναί, οὐδὲν διαφέρει· ἑλοίμεθα γὰρ ἂν
ταῦτα καὶ εἰ μὴ γίνοιτ' ἀπ' αὐτῶν ἡδονή. ὅτι μὲν οὖν οὔτε 13
τἀγαθὸν ἡ ἡδονὴ οὔτε πᾶσα αἱρετή, δῆλον ἔοικεν εἶναι, καὶ
ὅτι εἰσί τινες αἱρεταὶ καθ' αὑτὰς διαφέρουσαι τῷ εἴδει ἢ ἀφ'
ὧν. τὰ μὲν οὖν λεγόμενα περὶ τῆς ἡδονῆς καὶ λύπης ἱκα-
νῶς εἰρήσθω.

---

20. ἔνδειαι γεγένηνται L^b Γ 21. λέγοιτ' ἄν τις L^b 25. λέγοι τις scripsi: λέγοιτ' codd. 32. ὁ om. K^b 33. ἢ] ἀνὴ K^b 34. τῷ] τὸ L^b: ὁ Γ 1174ª 1. τ' L^b: δ' K^b M^b: om. Γ 9. ἀγαθὸν K^b M^b 11. ἱκανῶς om. K^b

doygunluğun oluşacağı hiçbir şeyin eksikliği yoktur bunlarda. Daha çirkin hazları önümüze sürenlere ise, bunların hiç de hoş olmadıkları söylenebilir (kötü yatkınlıkları olanlar için hoş iseler, onların dışındaki kişiler için de hoş olduğu sanılmamalı: Tıpkı hasta kimseler için sağlıklı, tatlı, acı şeyler; ya da gözleri iyi görmeyenler için ak görünen şeyler gibi). Yine hazların tercih edilesi şeyler olduğu, ama bunların tercih ettiklerinin böyle olmadığı söylenebilir. Sözgelişi zenginleşmek tercih edilecek bir şeydir ama bir hainin zenginleşmesi değil: Sağlıklı olmak tercih edilecek bir şeydir ama ne olursa olsun yiyerek değil. Yine "hazlar türce farklıdır" denebilir. Nitekim güzel şeylerden kaynaklananlar, çirkin şeylerden kaynaklananlardan farklıdır; adil olmayan bir kişinin adaletten hoşlanması, müziksever olmayanın müzikten haz alması olanaklı değil; başka şeylerde de bu böyledir. Dost, dalkavuktan farklı biri olduğundan ötürü, hazzın da bir 'iyi' olmadığının ya da değişik cinsten hazlar olduğunun açığa çıktığı düşünülüyor. Nitekim biri 'iyi' ile, öteki haz ile ilgili olarak ilişki içinde; biri kınanır, öteki farklı bir amaç için ilişkide olmasından ötürü övülür. Öte yandan hiçkimse çocukların haz aldıkları şeylerden olabildiğince çok haz alarak yaşam boyu bir çocuk zekası taşımayı tercih etmese gerek. Bir acı gelecek olmasa bile, çok çirkin bir şey yaparak haz almak da tercih edilmese gerek. Ayrıca biz hiçbir haz getirmese bile, pek çok konuda çaba gösteriyoruz: Sözgelişi görmek, anımsamak, bilmek, erdemlere sahip olmak. Zorunlu olarak bunların peşinden hazların gelmesi de hiç farketmez, çünkü biz bunlardan bir haz oluşmasa bile, bunları tercih ederiz. İmdi şu açıkca görünüyor: Haz 'iyi' değil, her haz da tercih edilesi bir şey değil; biçim ya da kaynak bakımından farklı olan bazı hazlar kendi başına tercih edilesi hazlar. İmdi haz ve acı konusunda yeterince konuştuk.

IV. Τί δ' ἐστὶν ἡ ποιόν τι, καταφανέστερον γένοιτ' ἂν ἀπ' 3
ἀρχῆς ἀναλαβοῦσιν. δοκεῖ γὰρ ἡ μὲν ὅρασις καθ' ὁντινοῦν
χρόνον τελεία εἶναι· οὐ γάρ ἐστιν ἐνδεὴς οὐδενὸς ὃ εἰς ὕστερον 15
γινόμενον τελειώσει αὐτῆς τὸ εἶδος· τοιούτῳ δ' ἔοικε καὶ
ἡ ἡδονή. ὅλον γάρ τι ἐστί, καὶ κατ' οὐδένα χρόνον λάβοι τις
ἂν ἡδονὴν ἧς ἐπὶ πλείω χρόνον γινομένης τελειωθήσεται τὸ
2 εἶδος. διόπερ οὐδὲ κίνησίς ἐστιν. ἐν χρόνῳ γὰρ πᾶσα κίνησις
καὶ τέλους τινός, οἷον ἡ οἰκοδομική, καὶ τελεία ὅταν ποιήσῃ 20
οὗ ἐφίεται. ἢ ἐν ἅπαντι δὴ τῷ χρόνῳ ἢ τούτῳ. ἐν δὲ τοῖς
μέρεσι καὶ τῷ χρόνῳ πᾶσαι ἀτελεῖς, καὶ ἕτεραι τῷ εἴδει τῆς
ὅλης καὶ ἀλλήλων. ἡ γὰρ τῶν λίθων σύνθεσις ἑτέρα τῆς
τοῦ κίονος ῥαβδώσεως, καὶ αὗται τῆς τοῦ ναοῦ ποιήσεως· καὶ
ἡ μὲν τοῦ ναοῦ τελεία (οὐδενὸς γὰρ ἐνδεὴς πρὸς τὸ προκείμε- 25
νον), ἡ δὲ τῆς κρηπῖδος καὶ τοῦ τριγλύφου ἀτελής· μέρους
γὰρ ἑκατέρα. τῷ εἴδει οὖν διαφέρουσι, καὶ οὐκ ἔστιν ἐν
ὁτῳοῦν χρόνῳ λαβεῖν κίνησιν τελείαν τῷ εἴδει, ἀλλ' εἴπερ, ἐν
3 τῷ ἅπαντι. ὁμοίως δὲ καὶ ἐπὶ βαδίσεως καὶ τῶν λοιπῶν. εἰ
γάρ ἐστιν ἡ φορὰ κίνησις πόθεν ποῖ, καὶ ταύτης διαφοραὶ 30
κατ' εἴδη, πτῆσις βάδισις ἅλσις καὶ τὰ τοιαῦτα. οὐ μόνον
δ' οὕτως, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ βαδίσει· τὸ γὰρ πόθεν ποῖ
οὐ τὸ αὐτὸ ἐν τῷ σταδίῳ καὶ ἐν τῷ μέρει, καὶ ἐν ἑτέρῳ μέρει
καὶ ἐν ἑτέρῳ, οὐδὲ τὸ διεξιέναι τὴν γραμμὴν τήνδε κἀκείνην·
οὐ μόνον γὰρ γραμμὴν διαπορεύεται, ἀλλὰ καὶ ἐν τόπῳ 1174 b
οὖσαν, ἐν ἑτέρῳ δ' αὕτη ἐκείνης. δι' ἀκριβείας μὲν οὖν περὶ
κινήσεως ἐν ἄλλοις εἴρηται, ἔοικε δ' οὐκ ἐν ἅπαντι χρόνῳ
τελεία εἶναι, ἀλλ' αἱ πολλαὶ ἀτελεῖς καὶ διαφέρουσαι τῷ

---

16. *γινόμενον* K^b : *γενόμενον* vulg. 17. *ὅλον*] *τέλειον* K^b M^b *τι γάρ* K^b 20. *ἡ* om. K^b M^b *καὶ* add. K^b 21. *δὴ* om. K^b *ἢ* om. L^b M^b 22. *καὶ τῷ χρόνῳ* K^b : *τοῦ χρόνου* vulg. (fort. *τῷ χρόνῳ* secludendum) 25. *γὰρ* om. K^b 29. *βαδίσεων* K^b M^b 31. *καὶ* om. K^b M^b 34. *ἐν* add. K^b 1174^b 1. *γὰρ* om. K^b

Baştan alırsak, ne olduğu, nasıl bir şey olduğu daha açık olabilir: Görme, her zaman tam, bu görünüyor, çünkü onun biçimini tam kılacak, daha sonra oluşacak bir şeyden yoksun değil. Haz da bu tür bir şeye benziyor, çünkü o bir bütün ve hiçbir zaman, zaman geçince onun biçiminin daha kusursuz olacağı bir haz alınamaz. İşte bu yüzden bir devinim de değil: Her devinim, bir evin inşaatı gibi, zaman içinde belli bir amaca ilişkindir, aradığını gerçekleştirince, her zaman için ya da o zaman için tam olur. Devinim parçaları ise her zaman, tam değildir; biçim bakımından tüm devinimden, ayrıca biribirlerinden farklıdır bu parçalar: Taşların yerleştirilmesi, kolonların dikilmesinden, bunlar da bitmiş bir tapınaktan farklıdır. Tapınağınki ise tam: Öngörülen durumla ilgili hiçbir şey eksik değil. Oysa kolon ayaklarınınki, kemerinki tam değil, çünkü herikisi de parça, biçimce de farklı: Devinimin herhangi bir anı içinde biçimce tam devinimi almak olanaksız; bu ancak devinimin tümü içinde olanaklı. Yürüme ile öteki devinimlerinkinde de bu böyle: Nitekim yer değiştirme bir yerden bir yere devinim ise, bunun biçim bakımından farklılıkları, uçma, yürüme, atlama vb.dir. Yalnız bu kadarla kalmaz, aynı zamanda yürümenin kendisi de farklılıklar taşır: Bir yerden bir yere yürümek, bir stadion yürümek ile, bunun bir parçası kadar yürümek aynı değil; kaldı ki, bir parçasıyla öteki parçası da aynı değil; şu ya da öteki şeritten yürümek de aynı değil: Yalnızca tek şeritten yürünmez, aynı zamanda biri ötekinden farklı bir yerde bulunan bir şeritten yürümek söz konusu olur. Aslında devinim konusunda başka yerde ayrıntılı sözetmiştik[80]. O her an içinde tam değil, bir biçimi bir yerden başka bir yere gitmek ise, pek çok, biçim ...mından farklı, tam olmayan devinimler var görünüyor.

εἶδει, εἴπερ τὸ πόθεν ποῖ εἰδοποιόν. τῆς ἡδονῆς δ' ἐν ὁτῳοῦν 4
χρόνῳ τέλειον τὸ εἶδος. δῆλον οὖν ὡς ἕτεραί τ' ἂν εἶεν ἀλ-
λήλων, καὶ τῶν ὅλων τι καὶ τελείων ἡ ἡδονή. δόξειε δ' ἂν
τοῦτο καὶ ἐκ τοῦ μὴ ἐνδέχεσθαι κινεῖσθαι μὴ ἐν χρόνῳ, ἥδε-
σθαι δέ· τὸ γὰρ ἐν τῷ νῦν ὅλον τι. ἐκ τούτων δὲ δῆλον καὶ
ὅτι οὐ καλῶς λέγουσι κίνησιν ἢ γένεσιν εἶναι τὴν ἡδονήν. οὐ
γὰρ πάντων ταῦτα λέγεται, ἀλλὰ τῶν μεριστῶν καὶ μὴ
ὅλων· οὐδὲ γὰρ ὁράσεώς ἐστι γένεσις οὐδὲ στιγμῆς οὐδὲ μονά-
δος, οὐδὲ τούτων οὐθὲν κίνησις οὐδὲ γένεσις· οὐδὲ δὴ ἡδονῆς· 5
ὅλον γάρ τι. Αἰσθήσεως δὲ πάσης πρὸς τὸ αἰσθητὸν ἐνεργούσης,
τελείως δὲ τῆς εὖ διακειμένης πρὸς τὸ κάλλιστον τῶν ὑπὸ
τὴν αἴσθησιν (τοιοῦτον γὰρ μάλιστ' εἶναι δοκεῖ ἡ τελεία ἐνέρ-
γεια· αὐτὴν δὲ λέγειν ἐνεργεῖν, ἢ ἐν ᾧ ἐστί, μηθὲν διαφε-
ρέτω), καθ' ἑκάστην δὴ βελτίστη ἐστὶν ἡ ἐνέργεια τοῦ ἄριστα
διακειμένου πρὸς τὸ κράτιστον τῶν ὑπ' αὐτήν. αὕτη δ' ἂν
τελειοτάτη εἴη καὶ ἡδίστη. κατὰ πᾶσαν γὰρ αἴσθησίν ἐστιν
ἡδονή, ὁμοίως δὲ καὶ διάνοιαν καὶ θεωρίαν, ἡδίστη δ' ἡ τε-
λειοτάτη, τελειοτάτη δ' ἡ τοῦ εὖ ἔχοντος πρὸς τὸ σπουδαιό-
τατον τῶν ὑπ' αὐτήν· τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονή. οὐ 6
τὸν αὐτὸν δὲ τρόπον ἥ τε ἡδονὴ τελειοῖ καὶ τὸ αἰσθητόν τε
καὶ ἡ αἴσθησις, σπουδαῖα ὄντα, ὥσπερ οὐδ' ἡ ὑγίεια καὶ ὁ
ἰατρὸς ὁμοίως αἰτία ἐστὶ τοῦ ὑγιαίνειν. καθ' ἑκάστην δ' αἴσ- 7
θησιν ὅτι γίνεται ἡδονή, δῆλον (φαμὲν γὰρ ὁράματα καὶ
ἀκούσματα εἶναι ἡδέα)· δῆλον δὲ καὶ ὅτι μάλιστα, ἐπειδὰν ἥ
τε αἴσθησις ᾖ κρατίστη καὶ πρὸς τοιοῦτον ἐνεργῇ· τοιούτων δ'
ὄντων τοῦ τε αἰσθητοῦ καὶ τοῦ αἰσθανομένου, ἀεὶ ἔσται ἡδονὴ

---

6. ἑτέρα τ' ἂν εἴη K^b 17. μὴ K^b M^b 18. ἑκάστην M^b Alexander Aphrod.: ἕκαστον vulg. δὴ Lambinus: δὲ codd. 19. ὑπ' αὐτήν K^b Γ: ὑφ' αὐτήν vulg. 22. εὖ om. K^b 23. ὑπ' αὐτήν Γ: ὑφ' αὐτήν codd. 26. αἰτία ἐστὶ K^b Γ: αἴτιά εἰσι L^b: ἔστιν αἰτία M^b

Hazzın biçimi ise her zaman tam. İmdi şu açık: Devinim ile haz biribirlerinden farklı olsa gerek: Haz tam, bütün. Bu şuradan da görünebilir: Devinmek ancak belli bir zaman içinde olası, oysa haz alma öyle değil, çünkü o 'an' içindeki bütün bir şey. Şuradan da hazzın bir devinim ya da oluş olduğunu söylemenin yerinde olmadığı açık: Berikiler her şeyde değil, yalnızca parçalara bölünebilen, bütün olmayan nesnelerde söz konusu; nitekim ne görmenin bir oluşu var ne bir noktanın ne de 'tekliğin' oluşu; yine bunların hiçbiri bir devinim de değil bir oluş da. Demek ki, hazzın da devinimi, oluşu yok, çünkü bir bütün. Madem her duyum duyu nesnesine göre etkinlikte olur, duyum altına girenlerin en güzeline göre iyi durumda olunca da tam etkinlik olur (nitekim böyle bir şeyin özellikle tam etkinlik olduğu görünüyor; duyumun etkinlikte olduğunu ya da içinde onun bulunduğu şeyin etkinlikte olduğunu söylemek farketmez), demek ki, herbir duyuma göre en iyi etkinlik onun altındaki şeylerin en iyisiyle ilgili en iyi durumun etkinliğidir. Bu da tam, son derece hoş olacaktır. Nitekim her duyuma göre bir haz var; aynı şekilde her düşünme gücüne, her 'teori'ye ilişkin bir haz var. En hoş etkinlik ise en tam olan; en tam etkinlik de o etkinliğin altına girenlerin en erdemlisiyle ilgili iyi durumda olanınki. Haz da etkinliği tamamlar. Nasıl sağlık ile hekim aynı açıdan sağlıklı olma nedeni değilse, haz ile duyum da erdemli olduklarında duyu nesnesini aynı açıdan tamamlamaz. Demek ki, herbir duyuma göre bir hazzın oluştuğu açık (görmenin, işitmenin hoş olduğunu söyleriz). Şu da açık: Ne zaman ki duyum en iyidir, en çok o zaman en iyi şeyle ilgili etkinlikte bulunur. Duyan ile duyulan

8 ὑπάρχοντός γε τοῦ τε ποιήσοντος καὶ τοῦ πεισομένου. τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονὴ οὐχ ὡς ἡ ἕξις ἐνυπάρχουσα, ἀλλ' ὡς ἐπιγινόμενόν τι τέλος, οἷον τοῖς ἀκμαίοις ἡ ὥρα. ἕως ἂν οὖν τό τε νοητὸν ἢ αἰσθητὸν ᾖ οἷον δεῖ καὶ τὸ κρῖνον ἢ θεωροῦν, ἔσται ἐν τῇ ἐνεργείᾳ ἡ ἡδονή· ὁμοίων γὰρ ὄντων καὶ 1175ᵃ
πρὸς ἄλληλα τὸν αὐτὸν τρόπον ἐχόντων τοῦ τε παθητικοῦ
9 καὶ τοῦ ποιητικοῦ ταὐτὸ πέφυκε γίνεσθαι. πῶς οὖν οὐδεὶς συνεχῶς ἥδεται; ἢ κάμνει; πάντα γὰρ τὰ ἀνθρώπεια ἀδυνατεῖ συνεχῶς ἐνεργεῖν. οὐ γίνεται οὖν οὐδ' ἡδονή· ἕπεται γὰρ 5
τῇ ἐνεργείᾳ. ἔνια δὲ τέρπει καινὰ ὄντα, ὕστερον δὲ οὐχ ὁμοίως διὰ ταὐτό· τὸ μὲν γὰρ πρῶτον παρακέκληται ἡ διάνοια καὶ διατεταμένως περὶ αὐτὰ ἐνεργεῖ, ὥσπερ κατὰ τὴν ὄψιν οἱ ἐμβλέποντες, μετέπειτα δ' οὐ τοιαύτη ἡ ἐνέργεια ἀλλὰ
10 παρημελημένη· διὸ καὶ ἡ ἡδονὴ ἀμαυροῦται. ὀρέγεσθαι δὲ 10
τῆς ἡδονῆς οἰηθείη τις ἂν ἅπαντας, ὅτι καὶ τοῦ ζῆν ἅπαντες ἐφίενται· ἡ δὲ ζωὴ ἐνέργειά τις ἐστί, καὶ ἕκαστος περὶ ταῦτα καὶ τούτοις ἐνεργεῖ ἃ καὶ μάλιστ' ἀγαπᾷ, οἷον ὁ μὲν μουσικὸς τῇ ἀκοῇ περὶ τὰ μέλη, ὁ δὲ φιλομαθὴς τῇ διανοίᾳ περὶ τὰ θεωρήματα, οὕτω δὲ καὶ τῶν λοιπῶν ἕκαστος· ἡ δ' ἡδονὴ τελει- 15
οῖ τὰς ἐνεργείας, καὶ τὸ ζῆν δή, οὗ ὀρέγονται. εὐλόγως οὖν καὶ τῆς ἡδονῆς ἐφίενται· τελειοῖ γὰρ ἑκάστῳ τὸ ζῆν, αἱρετὸν ὄν.
11 Πότερον δὲ διὰ τὴν ἡδονὴν τὸ ζῆν αἱρούμεθα ἢ διὰ τὸ ζῆν τὴν 5
ἡδονήν, ἀφείσθω ἐν τῷ παρόντι. συνεζεῦχθαι μὲν γὰρ ταῦτα φαίνεται καὶ χωρισμὸν οὐ δέχεσθαι· ἄνευ τε γὰρ ἐνεργείας οὐ 20
V. γίνεται ἡδονή, πᾶσάν τε ἐνέργειαν τελειοῖ ἡ ἡδονή. Ὅθεν δοκοῦσι καὶ τῷ εἴδει διαφέρειν. τὰ γὰρ ἕτερα τῷ εἴδει ὑφ' ἑτέρων

---

31. τε scripsi: γε L^b: om. vulg. 32. ἡ post ὡς om. L^b M^b 34. τε add. K^b αἰσθητὸν ἢ νοητὸν L^b Γ 1175ᵃ 1. ἡ fort. secludendum 3. ταὐτὴ M^b 7. ταῦτα L^b M^b 9. δὴ οὐ τοιαύτη ἐνέργεια K^b: δὲ (om. Γ) οὐ γίνεται τοιαύτη ἡ ἐνέργεια L^b Γ: δ' ἡ τοιαύτη ἐνέργεια οὐ γίνεται M^b 16. δή Aretinus: δέ codd. 21. τε L^b: γὰρ M^b: τε γὰρ K^b

böyle olduğunda, yapan ve uğrayan olduğundan ötürü her zaman bir haz olacaktır. Ayrıca haz, etkinliği, içinde bulunan bir huy olarak değil, eklenen bir amaç olarak tamamlar: Sözgelişi güçlü kişilere zeka eklenmesi gibi. Demek ki düşünülen ya da duyulan, hem de karar verilen ya da teori yapılan şey gerektiği gibi olduğu sürece haz etkinlik halinde olacaktır. Nitekim madem aynı şekildedirler ve biribirleriyle 1175a
ilgili aynı tarzı taşıyorlar, hem yapanın hem de uğrayanın hazzının aynı olması doğal. O halde nasıl oluyor da hiç kimse sürekli olarak haz almıyor? Yoksa yorulduğu için mi? Nitekim insanca olan hiçbir şeyin sürekli etkinlik halinde olması olanaklı değil, demek ki, haz da böyle değil. Haz et- 5
kinliği izler. Kimi şeyler de yeni olduklarından ötürü haz verir ama daha sonra yine aynı nedenle aynı şekilde haz vermez. Nitekim ilkin düşünce uyarılır, onla ilgili olarak dikkatle etkinlikte bulunulur - tıpkı görme konusunda, dikkatle bakan- 10
lar gibi - ama sonra etkinlik böyle kalmaz, ilgi azalır. Haz da bunun için ortadan kalkar. Herkes yaşamayı aradığından ötürü, herkesin hazzı da aradığı düşünülebilir, oysa yaşam belli bir etkinliktir; herbir kişi en çok sevdiği şeylerle ilgili olarak, onlar için etkinlikte bulunur: Sözgelişi müzisyen melodilerle ilgili olarak işitme gücü bakımından, öğrenmeyi seven teori yapılacak şeyler konusunda düşünme gücü bakımından etkinlikte bulunur, ötekilerden herbiri de öyle. 15
Haz ise etkinlikleri tamamlar, dolayısıyla aranan yaşamı da. İmdi hazzın aranması ussal, çünkü her bir kişi için tercih edilesi olan yaşamı tamamlıyor. Bu durumda, acaba yaşamı mı hazdan ötürü yoksa hazzı mı yaşamdan ötürü tercih ediyoruz, sorusunu bir yana bırakalım, çünkü bunların biribirine bağlı oldukları, ayrılmadıkları görünüyor: Etkinlikten bağımsız haz oluşmuyor, haz ise etkinliği tamamlı- 20
yor. Buradan biçim bakımından da farklı oldukları görünüyor, çünkü biçim bakımından farklı şeylerin biçim

οἰόμεθα τελειοῦσθαι (οὕτω γὰρ φαίνεται καὶ τὰ φυσικὰ καὶ τὰ ὑπὸ τέχνης, οἷον ζῷα καὶ δένδρα καὶ γραφὴ καὶ ἄγαλμα καὶ οἰκία καὶ σκεῦος)· ὁμοίως δὲ καὶ τὰς ἐνεργείας τὰς διαφερούσας τῷ εἴδει ὑπὸ διαφερόντων εἴδει τελειοῦσθαι. διαφέρουσι δ' αἱ τῆς διανοίας τῶν κατὰ τὰς αἰσθήσεις καὶ αὐταὶ ἀλλήλων κατ' εἶδος· καὶ αἱ τελειοῦσαι δὴ ἡδοναί. φανείη δ' ἂν τοῦτο καὶ ἐκ τοῦ συνῳκειῶσθαι τῶν ἡδονῶν ἑκάστην τῇ ἐνεργείᾳ ἣν τελειοῖ. συναύξει γὰρ τὴν ἐνέργειαν ἡ οἰκεία ἡδονή. μᾶλλον γὰρ ἕκαστα κρίνουσι καὶ ἐξακριβοῦσιν οἱ μεθ' ἡδονῆς ἐνεργοῦντες, οἷον γεωμετρικοὶ γίνονται οἱ χαίροντες τῷ γεωμετρεῖν, καὶ κατανοοῦσιν ἕκαστα μᾶλλον, ὁμοίως δὲ καὶ οἱ φιλόμουσοι καὶ φιλοικοδόμοι καὶ τῶν ἄλλων ἕκαστοι ἐπιδιδόασιν εἰς τὸ οἰκεῖον ἔργον χαίροντες αὐτῷ· συναύξουσι δὲ αἱ ἡδοναί, τὰ δὲ συναύξοντα οἰκεῖα· τοῖς 1175 b ἑτέροις δὲ τῷ εἴδει καὶ τὰ οἰκεῖα ἕτερα τῷ εἴδει. ἔτι δὲ μᾶλλον τοῦτ' ἂν φανείη ἐκ τοῦ τὰς ἀφ' ἑτέρων ἡδονὰς ἐμποδίους ταῖς ἐνεργείαις εἶναι. οἱ γὰρ φίλαυλοι ἀδυνατοῦσι τοῖς λόγοις προσέχειν, ἐὰν κατακούσωσιν αὐλοῦντος, μᾶλλον χαίροντες αὐλητικῇ τῆς παρούσης ἐνεργείας· ἡ κατὰ τὴν αὐλητικὴν οὖν ἡδονὴ τὴν περὶ τὸν λόγον ἐνέργειαν φθείρει. ὁμοίως δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει, ὅταν ἅμα περὶ δύο ἐνεργῇ· ἡ γὰρ ἡδίων τὴν ἑτέραν ἐκκρούει, κἂν πολὺ διαφέρῃ κατὰ τὴν ἡδονήν, μᾶλλον, ὥστε μηδ' ἐνεργεῖν κατὰ τὴν ἑτέραν. διὸ χαίροντες ὀτῳοῦν σφόδρα οὐ πάνυ δρῶμεν ἕτερον, καὶ ἄλλα ποιοῦμεν ἄλλοις ἡρέμα ἀρεσκόμενοι, οἷον καὶ ἐν τοῖς θεάτροις οἱ τραγηματίζοντες, ὅταν φαῦλοι οἱ ἀγωνιζόμενοι ὦσι, τότε μάλιστ' αὐτὸ δρῶσιν. ἐπεὶ δ' ἡ μὲν

---

24. γραφαὶ Γ ἄγαλμα K^b: ἀγάλματα vulg. 25. τὰς post ἐνεργείας om. K^b M^b 28. αἱ αἱ K^b: αὗται L^b M^b: αὗται αἱ αἱ Γ 29. τῶν] τῃ τῶν pr. K^b: fort. τῇ τῶν 31. μᾶλλον] μόνον K^b 1175b 4. κατακούσωσιν K^b M^b 10. διορῶμεν K^b M^b 11. οἷον om. K^b M^b

bakımından farklı şeyler tarafından tamamlandığını düşünüyoruz (hem doğal olanlar hem de sanata bağlı olanlar böyle görünüyor: sözgelişi canlılar, ağaçlar, resimler, heykeller, ev, araç-gereç). Aynı şekilde biçim bakımından farklı etkinliklerin de biçim bakımından farklı şeyler tarafından tamamlandığı görünüyor: Düşünce etkinlikleri duyumlara bağlı olanlardan, berikiler de biribirlerinden biçimce farklı. İmdi onları tamamlayan hazlar da biçimce farklı. Bu şuradan da görünse gerek: Hazlardan herbiri hangi etkinliği tamamlıyorsa o etkinlikle aynı doğada: Etkinliği, etkinliğe özgü olan haz artırır: İnsanlar hazla etkinlikte bulunduklarında herbir şeyi daha iyi değerlendirir, daha kesince iş görür; sözgelişi geometriden hoşlananlar geometrici olur, bu konudaki herbir şeyi daha iyi kavrar. Aynı şekilde müziği, mimarlığı sevenler, öteki sanatlara düşkün olanların herbiri ondan haz aldıkları için alanlarında ilerler. Haz da artar, çünkü birlikte artan şeyler biribirine uyar. Biçim bakımından farklı şeylere ise biçimce farklı olanlar uyar. Öte yandan bu, etkinliklerin değişik etkinliklere dayanan hazlarca engellenmesinden de daha açıkça görülebilir: Flüte düşkün olanlar etkinlik halinde iken flüt çalan birini işitirlerse dikkatlerini uslamlamaya vermeleri olanaksızlaşır; demek ki, flüt sesindeki haz uslamlamadaki etkinliği bozar. Bu aynı anda iki değişik şeyle ilgili etkinlik olduğu zaman başka durumlarda da böyle: Daha hoş şeylerin etkinliği ötekini azaltır, bu, hazza bağlı farklılık ne denli çoksa o denli çok olur; dolayısıyla ötekine göre hiç etkinlikte bulunamayacak hale gelinebilir. Bunun için bir şeyden çok fazla hoşlanıyorsak artık başka bir şey yapmayalım; bir şeyi az hoşlanarak yapıyorsak başka bir şeyi yapmaya girişelim. Örneğin tiyatroda yemiş yiyenler, oyuncular kötü oynadıklarında bunu daha çok yapar.

οἰκεία ἡδονὴ ἐξακριβοῖ τὰς ἐνεργείας καὶ χρονιωτέρας καὶ βελτίους ποιεῖ, αἱ δ' ἀλλότριαι λυμαίνονται, δῆλον ὡς πολὺ διεστᾶσιν. σχεδὸν γὰρ αἱ ἀλλότριαι ἡδοναὶ ποιοῦσιν ὅπερ αἱ οἰκεῖαι λῦπαι· φθείρουσι γὰρ τὰς ἐνεργείας αἱ οἰκεῖαι λῦπαι, οἷον εἴ τῳ τὸ γράφειν ἀηδὲς καὶ ἐπίλυπον ἢ τὸ λογίζεσθαι· ὃ μὲν γὰρ οὐ γράφει, ὃ δ' οὐ λογίζεται, λυπηρᾶς οὔσης τῆς ἐνεργείας. συμβαίνει δὴ περὶ τῆς ἐνεργείας τοὐναντίον ἀπὸ τῶν οἰκείων ἡδονῶν τε καὶ λυπῶν· οἰκεῖαι δ' εἰσὶν αἱ ἐπὶ τῇ ἐνεργείᾳ καθ' αὐτὴν γινόμεναι. αἱ δ' ἀλλότριαι ἡδοναὶ εἴρηνται ὅτι παραπλήσιόν τι τῇ λύπῃ ποιοῦσιν· φθείρουσι γάρ, πλὴν οὐχ ὁμοίως. διαφερουσῶν δὲ τῶν ἐνεργειῶν ἐπιεικείᾳ καὶ φαυλότητι, καὶ τῶν μὲν αἱρετῶν οὐσῶν τῶν δὲ φευκτῶν τῶν δ' οὐδετέρων, ὁμοίως ἔχουσι καὶ αἱ ἡδοναί· καθ' ἑκάστην γὰρ ἐνέργειαν οἰκεία ἡδονὴ ἔστιν. ἡ μὲν οὖν τῇ σπουδαίᾳ οἰκεία ἐπιεικής, ἡ δὲ τῇ φαύλῃ μοχθηρά· καὶ γὰρ αἱ ἐπιθυμίαι τῶν μὲν καλῶν ἐπαινεταί, τῶν δ' αἰσχρῶν ψεκταί. οἰκειότεραι δὲ ταῖς ἐνεργείαις αἱ ἐν αὐταῖς ἡδοναὶ τῶν ὀρέξεων· αἱ μὲν γὰρ διωρισμέναι εἰσὶ καὶ τοῖς χρόνοις καὶ τῇ φύσει, αἱ δὲ σύνεγγυς ταῖς ἐνεργείαις, καὶ ἀδιόριστοι οὕτως ὥστ' ἔχειν ἀμφισβήτησιν εἰ ταὐτόν ἐστιν ἡ ἐνέργεια τῇ ἡδονῇ. οὐ μὴν ἔοικέ γε ἡ ἡδονὴ διάνοια εἶναι οὐδ' αἴσθησις (ἄτοπον γάρ), ἀλλὰ διὰ τὸ μὴ χωρίζεσθαι φαίνεταί τισι ταὐτόν. ὥσπερ οὖν αἱ ἐνέργειαι ἕτεραι, καὶ αἱ ἡδοναί. διαφέρει δὲ ἡ ὄψις ἁφῆς καθαρειότητι, καὶ ἀκοὴ καὶ ὄσφρησις γεύσεως· 1176a
ὁμοίως δὴ διαφέρουσι καὶ αἱ ἡδοναί, καὶ τούτων αἱ περὶ τὴν διάνοιαν, καὶ ἑκάτεραι ἀλλήλων. δοκεῖ δ' εἶναι ἑκάστῳ ζῴῳ καὶ ἡδονὴ οἰκεία, ὥσπερ καὶ ἔργον· ἡ γὰρ κατὰ τὴν ἐνέργειαν. καὶ ἐφ' ἑκάστῳ δὲ θεωροῦντι τοῦτ' ἂν φανείη· ἑτέρα

19. γὰρ om. L^b Γ 20. τῆς pr. K^b: τὰς vulg. 22. εἴρηνται K^b M^b Γ 29. αἰσχρῶν δὲ K^b 1176a 1. καθαριότητι codd. 2. δὲ K^b M^b

Madem uygun haz etkinliklere kesinlik kazandırıyor, daha uzun süreli, daha iyi kılıyor; ona uymayan haz ise etkinliklere zarar veriyor, hazlar arasında çok fark var demektir, bu açık. Etkinliğe yabancı hazlar hemen hemen ona özgü olan acıların yaptığı etkiyi yapar; çünkü ona özgü acılar etkinlikleri ortadan kaldırır: Sözgelişi biri için yazmak ya da hesap yapmak sıkıcı, yorucu ise: Etkinlik sıkıcı olduğunda, biri yazmayacak, öteki hesap yapmayacaktır. Demek ki, etkinliğe özgü, ona uyan haz ve acılar etkinlikler üzerinde karşıt etkide bulunuyor. Ona özgü hazlar ise, 'kendi başına' etkinlikle ilgili olarak oluşanlar: Etkinliğe özgü olmayan hazların hemen hemen acının uyandırdığı etkiyi uyandırdığını söyledik, çünkü onlar aynı şekilde olmasa da etkinliğe zarar veriyor. Madem etkinlikler doğruluk, eğrilik bakımından farklı ve onlardan kimi tercih edilecek, kimi kaçılacak, kimi de ne kaçılacak ne de tercih edilecek etkinlikler, hazlar da öyle olur. Nitekim her etkinliğe özgü bir haz var: Erdemli bir etkinliğe özgü doğru bir haz, kötü bir etkinliğe özgü eğri bir haz olur. Güzel şeylere duyulan tutkular övülür, çirkin şeylere duyulanlar ise yerilir. Etkinliklerin kendilerindeki hazlar, onlara duyulan iştahlardan daha özgüdür onlara. Çünkü iştahlar zaman ve doğa bakımından farklı, oysa etkinliklere özgü hazlar onlardan öylesine ayrılamazlar ki, etkinliğin hazla aynı şey olup olmadığı bir tartışma taşır. Aslında haz ne düşünme gücü ne de duyumdur (bu saçma olur), ama hazlar bunlardan ayrılmadıklarından bazı kişilere bunlarla aynı gibi görünür. İmdi nasıl etkinlikler farklı ise hazlar da farklı: Görme duyumu dokunma duyumundan arılık bakımından farklı; işitme ile koku alma ise tad alma duyumundan. Aynı şekilde bunlara ilişkin hazlar da farklı: Düşünme gücüyle ilgili olanlar bunlardan, herbiri de biribirinden farklı. Ayrıca nasıl yaşamını sürdüren herbir canlıya özgü bir iş varsa, ona özgü bir haz da var görünüyor, çünkü haz etkinliğe bağlı. Bu her araştırıcıya böyle görünse gerek: Bir atın,

γὰρ ἵππου ἡδονὴ καὶ κυνὸς καὶ ἀνθρώπου, καθάπερ Ἡράκλειτός φησιν ὄνους σύρματ' ἂν ἐλέσθαι μᾶλλον ἢ χρυσόν· ἥδιον γὰρ χρυσοῦ τροφὴ ὄνοις. αἱ μὲν οὖν τῶν ἐτέρων τῷ εἴδει διαφέρουσιν εἴδει, τὰς δὲ τῶν αὐτῶν ἀδιαφόρους εὔλογον εἶναι. διαλλάττουσι δ' οὐ σμικρὸν ἐπί γε τῶν ἀνθρώπων· τὰ γὰρ 9
αὐτὰ τοὺς μὲν τέρπει τοὺς δὲ λυπεῖ, καὶ τοῖς μὲν λυπηρὰ καὶ μισητά ἐστι τοῖς δὲ ἡδέα καὶ φιλητά. καὶ ἐπὶ γλυκέων δὲ τοῦτο συμβαίνει· οὐ γὰρ τὰ αὐτὰ δοκεῖ τῷ πυρέττοντι καὶ τῷ ὑγιαίνοντι, οὐδὲ θερμὸν εἶναι τῷ ἀσθενεῖ καὶ τῷ εὐεκτικῷ. ὁμοίως δὲ τοῦτο καὶ ἐφ' ἑτέρων συμβαίνει. δοκεῖ 10
δ' ἐν ἅπασι τοῖς τοιούτοις εἶναι τὸ φαινόμενον τῷ σπουδαίῳ. εἰ δὲ τοῦτο καλῶς λέγεται, καθάπερ δοκεῖ, καὶ ἔστιν ἑκάστου μέτρον ἡ ἀρετὴ καὶ ἀγαθός, ᾗ τοιοῦτος, καὶ ἡδοναὶ εἶεν ἂν αἱ τούτῳ φαινόμεναι καὶ ἡδέα οἷς οὗτος χαίρει. τὰ δὲ τούτῳ δυσχερῆ εἴ τῳ φαίνεται ἡδέα, οὐδὲν θαυμαστόν· πολλαὶ γὰρ φθοραὶ καὶ λῦμαι ἀνθρώπων γίνονται· ἡδέα δ' οὐκ ἔστιν, ἀλλὰ τούτοις καὶ οὕτω διακειμένοις. τὰς μὲν οὖν ὁμο- 11
λογουμένως αἰσχρὰς δῆλον ὡς οὐ φατέον ἡδονὰς εἶναι, πλὴν τοῖς διεφθαρμένοις· τῶν δ' ἐπιεικῶν εἶναι δοκουσῶν ποίαν ἢ τίνα φατέον τοῦ ἀνθρώπου εἶναι; ἢ ἐκ τῶν ἐνεργειῶν δῆλον; ταύταις γὰρ ἕπονται αἱ ἡδοναί. εἴτ' οὖν μία ἐστὶν εἴτε πλείους αἱ τοῦ τελείου καὶ μακαρίου ἀνδρός, αἱ ταύτας τελειοῦσαι ἡδοναὶ κυρίως λέγοιντ' ἂν ἀνθρώπου ἡδοναὶ εἶναι, αἱ δὲ λοιπαὶ δευτέρως καὶ πολλοστῶς, ὥσπερ αἱ ἐνέργειαι.

6 Εἰρημένων δὲ τῶν περὶ τὰς ἀρετάς τε καὶ φιλίας καὶ VI.
ἡδονάς, λοιπὸν περὶ εὐδαιμονίας τύπῳ διελθεῖν, ἐπειδὴ τέλος αὐτὴν τίθεμεν τῶν ἀνθρωπίνων. ἀναλαβοῦσι δὴ τὰ προει-

---

7. ὄνον L^b Γ 10. μικρὸν L^b: σμικροῖς K^b 11. τέρπει—1177ᵃ 30. ἱκανῶς om. K^b 18. ἀγαθός scripsi: ὁ ἀγαθός Aldina: ἀγαθός codd. 22. τούτοις] fort. τοῖς vel τοιούτοις καὶ τοῖς οὕτω M^b ὁμολογουμένας M^b Γ 30. τε om. L^b Γ 32. δὲ L^b Γ

bir köpeğin, bir insanın hazzı farklı. Herakleitos'un dediği gibi "eşekler samanı altına tercih eder",[81] çünkü eşekler için yiyecek altından daha hoş. Demek ki, tür bakımından değişik olanların hazları, biçim bakımından farklı olur; aynı türden olanların farklı olmaması da usa uygun. Ne ki, insanları ilgilendiren şey bakımından da hazlarda farklılık yok değil: Aynı şeyler kimini sevindiriyor, kimini üzüyor; kimi için acı, nefret uyandıran şeyler, kimi için hoş, sevilen şeyler oluyor. Tatlı şeyler konusunda da bu böyle: Ateşi olan biri ile sağlıklı biri için aynı değil. Sıcak da, zayıf olan için ile sağlığı yerinde olan için aynı değil. Bu başka konularda da böyle. Ama öyle görünüyor ki, bütün bu konularda durum, erdemli kişi için nasılsa öyle olmalı. Göründüğü gibi, bunu söylemek yerinde ise, herbir şeyin ölçüsü erdemdir. Erdemli biri olduğu için kişi iyi olur, iyi kişiye öyle görünenler haz, onun hoşlandığı şeyler hoş şeylerdir. Herhangi birine hoş görünen şeyler erdemli kişiye hoş görünmüyorsa şaşmamalı. İnsanlarda pek çok bozulma, sapkınlık var. Bunlar gerçekten hoş şeyler değil, yalnızca böyle kişiler için, bu tür yatkınlığı olanlar için böyle. Demek ki, çirkin oldukları konusunda anlaştığımız hazların, bozulmuş kişiler için böyle olmaları dışında, haz olduğunu söylememek gerekiyor, bu açık. Ne ki, doğru görünen hazlardan hangisi ya da nasıl olanı insana özgü, bunu söylemek gerekiyor. Acaba açıkca etkinliklere bağlı olanlar mı? Çünkü hazlar bunların peşinden geliyor. İmdi tam, kutlu bir adamın etkinliği ister bir olsun ister daha çok, bu etkinlikleri tamamlayan hazlar asıl anlamıyla insana özgü hazlar olur, bunu söyleyebiliriz. Nasıl etkinlikler öyleyse, ötekiler de ikinci sırada, çok geride kalırlar.

Madem erdem, dostluk, haz üzerine konuştuk; onu 'insanca şeylerin hedefi' diye düşündüğümüze göre, mutluluk üzerine biçimsel olarak sözetmek kalıyor geriye. Önceden söylediklerimizi ele alırsak sözümüz daha kısa

2 ρημένα συντομώτερος ἂν εἴη ὁ λόγος. εἴπομεν δὴ ὅτι οὐκ
ἔστιν ἕξις· καὶ γὰρ τῷ καθεύδοντι διὰ βίου ὑπάρχοι ἄν, φυ-
τῶν ζῶντι βίον, καὶ τῷ δυστυχοῦντι τὰ μέγιστα. εἰ δὴ ταῦτα 35
μὴ ἀρέσκει, ἀλλὰ μᾶλλον εἰς ἐνέργειάν τινα θετέον, καθά- 1176 b
περ ἐν τοῖς πρότερον εἴρηται, τῶν δ' ἐνεργειῶν αἱ μέν εἰσιν
ἀναγκαῖαι καὶ δι' ἕτερα αἱρεταί αἱ δὲ καθ' αὑτάς, δῆλον
ὅτι τὴν εὐδαιμονίαν τῶν καθ' αὑτὰς αἱρετῶν τινὰ θετέον καὶ
οὐ τῶν δι' ἄλλο· οὐδενὸς γὰρ ἐνδεὴς ἡ εὐδαιμονία ἀλλ' αὐτάρ- 5
3 κης. καθ' αὑτὰς δ' εἰσὶν αἱρεταὶ ἀφ' ὧν μηδὲν ἐπιζητεῖται
παρὰ τὴν ἐνέργειαν. τοιαῦται δ' εἶναι δοκοῦσιν αἱ κατ' ἀρε-
τὴν πράξεις· τὰ γὰρ καλὰ καὶ σπουδαῖα πράττειν τῶν δι'
αὑτὰ αἱρετῶν. καὶ τῶν παιδιῶν δὲ αἱ ἡδεῖαι· οὐ γὰρ δι'
ἕτερα αὐτὰς αἱροῦνται· βλάπτονται γὰρ ἀπ' αὐτῶν μᾶλλον 10
ἢ ὠφελοῦνται, ἀμελοῦντες τῶν σωμάτων καὶ τῆς κτήσεως.
καταφεύγουσι δ' ἐπὶ τὰς τοιαύτας διαγωγὰς τῶν εὐδαιμονι-
ζομένων οἱ πολλοί, διὸ παρὰ τοῖς τυράννοις εὐδοκιμοῦσιν
οἱ ἐν ταῖς τοιαύταις διαγωγαῖς εὐτράπελοι· ὧν γὰρ ἐφίεν-
ται, ἐν τούτοις παρέχουσι σφᾶς αὐτοὺς ἡδεῖς, δέονται δὲ τοιού- 15
των. δοκεῖ μὲν οὖν εὐδαιμονικὰ ταῦτα εἶναι διὰ τὸ τοὺς ἐν
4 δυναστείαις ἐν τούτοις ἀποσχολάζειν, οὐδὲν δ' ἴσως σημεῖον
οἱ τοιοῦτοί εἰσιν· οὐ γὰρ ἐν τῷ δυναστεύειν ἡ ἀρετὴ οὐδ' ὁ νοῦς,
ἀφ' ὧν αἱ σπουδαῖαι ἐνέργειαι· οὐδ' εἰ ἄγευστοι οὗτοι ὄντες
ἡδονῆς εἰλικρινοῦς καὶ ἐλευθερίου ἐπὶ τὰς σωματικὰς κατα- 20
φεύγουσιν, διὰ τοῦτο ταύτας οἰητέον αἱρετωτέρας εἶναι· καὶ
γὰρ οἱ παῖδες τὰ παρ' αὑτοῖς τιμώμενα κράτιστα οἴονται
εἶναι. εὔλογον δή, ὥσπερ παισὶ καὶ ἀνδράσιν ἕτερα φαί-
5 νεται τίμια, οὕτω καὶ φαύλοις καὶ ἐπιεικέσιν. καθάπερ οὖν
πολλάκις εἴρηται, καὶ τίμια καὶ ἡδέα ἐστὶ τὰ τῷ σπουδαίῳ 25

---

33. δὴ scripsi : δ' codd. 34. φυτοῦ Γ 1176 b 15. τοιούτων] τούτων
L b 18. οὐδ' ὁ L b : ὁ δὲ M b : οὐδὲ vel οὐδ' ὁ Γ

olacak. Mutluluk bir huy değil, bunu söyledik. Çünkü bu durumda yaşam boyu uyuyan, bitki gibi yaşam süren, en büyük felaketlere uğrayan bir kişide de bulunabilirdi. Bu kabul edilmiyorsa, daha önce dediğimiz gibi, özellikle bir etkinlikle ilgili ele almak gerekiyorsa; etkinliklerden kimi zorunlu, bir başkası için tercih edilen etkinliklerse, kimi de 'kendi başına' tercih edilen etkinliklerse, şu açık: Mutluluğu bir başkası için değil, 'kendi başına' tercih edilen bir şey olarak anlamak gerekiyor. Mutluluk hiçbir şeyden yoksun değildir, kendine yeter. 'Kendi başına ' tercih edilenler, onlardan etkinliğin dışında hiçbir şey beklenmeyen etkinliklerdir. Bu tür olanların da erdeme uygun eylemler olduğu görünüyor. Çünkü güzel, erdemli şeyler yapmak kendisinden ötürü tercih edilen eylemlerin işi. Hoş eğlenceler de böyle; onlar başka şeyler için tercih edilmiyor. Nitekim bedenlerini ve elindekileri onlar için ihmal edenler, onlardan yarardan çok zarar görüyor. Mutlu sayılan pek çok kişi ise bu tür yaşantıya sığınıyor; bunun için bu tür şölenlerde eğlendirici olan kişiler tiranlar yanında iyi yer ediniyor. Çünkü onlar berikilerin aradıkları şeylerde hoşluk sağlıyor, berikilerin gereksindiği de bu. Demek ki, iktidarda bulunanlar boş zamanlarını bunlarla geçirdikleri için bunların mutluluk verici olduğu düşünülüyor, ama bu tür kişiler hiçbir şeyin kanıtı değil; çünkü erdemli etkinliklerin kaynağı olan, erdem de us da 'iktidarda olmak'ta değil. Yine bunlar saf ve özgür bir kişiye özgü hazdan anlamaz kişiler olduklarından bedensel hazlara saparlarsa, bu nedenle bedensel hazların daha tercih edilesi olduğunu da düşünmemeli. Çocuklar da kendilerince daha değerli olanların en önde gelenler olduğunu sanır. İmdi nasıl çocuklara, büyüklere farklı şeyler değerli görünüyorsa, eğri kişi ile doğru kişi için de böyle olması usa uygun. İmdi sık sık dediğimiz gibi, değerli olanlar, erdemli kişiye böyle görünenlerdir. Her-

35 1176b

5

10

15

20

25

τοιαῦτα ὄντα· ἑκάστῳ δ' ἡ κατὰ τὴν οἰκείαν ἕξιν αἱρετωτάτη ἐνέργεια, καὶ τῷ σπουδαίῳ δὴ ἡ κατὰ τὴν ἀρετήν. οὐκ 6
ἐν παιδιᾷ ἄρα ἡ εὐδαιμονία· καὶ γὰρ ἄτοπον τὸ τέλος εἶναι παιδιάν, καὶ πραγματεύεσθαι καὶ κακοπαθεῖν τὸν βίον
30 ἅπαντα τοῦ παίζειν χάριν. ἅπαντα γὰρ ὡς εἰπεῖν ἑτέρου ἕνεκα αἱρούμεθα πλὴν τῆς εὐδαιμονίας· τέλος γὰρ αὕτη. σπουδάζειν δὲ καὶ πονεῖν παιδιᾶς χάριν ἠλίθιον φαίνεται καὶ λίαν παιδικόν. παίζειν δ' ὅπως σπουδάζῃ, κατ' Ἀνάχαρσιν, ὀρθῶς ἔχειν δοκεῖ· ἀναπαύσει γὰρ ἔοικεν ἡ παιδιά, ἀδυνα-
35 τοῦντες δὲ συνεχῶς πονεῖν ἀναπαύσεως δέονται. οὐ δὴ τέλος
1177 a ἡ ἀνάπαυσις· γίνεται γὰρ ἕνεκα τῆς ἐνεργείας. δοκεῖ δ' ὁ εὐδαίμων βίος κατ' ἀρετὴν εἶναι· οὗτος δὲ μετὰ σπουδῆς, ἀλλ' οὐκ ἐν παιδιᾷ. βελτίω τε λέγομεν τὰ σπουδαῖα τῶν 7
γελοίων καὶ μετὰ παιδιᾶς, καὶ τοῦ βελτίονος ἀεὶ καὶ
5 μορίου καὶ ἀνθρώπου σπουδαιοτέραν τὴν ἐνέργειαν· ἡ δὲ τοῦ βελτίονος κρείττων καὶ εὐδαιμονικωτέρα ἤδη. ἀπολαύσειέ 8
τ' ἂν τῶν σωματικῶν ἡδονῶν ὁ τυχὼν καὶ ἀνδράποδον οὐχ ἧττον τοῦ ἀρίστου· εὐδαιμονίας δ' οὐδεὶς ἀνδραπόδῳ μεταδίδωσιν, εἰ μὴ καὶ βίου. οὐ γὰρ ἐν ταῖς τοιαύταις διαγωγαῖς ἡ
10 εὐδαιμονία, ἀλλ' ἐν ταῖς κατ' ἀρετὴν ἐνεργείαις, καθάπερ καὶ πρότερον εἴρηται.

7 Εἰ δ' ἐστὶν ἡ εὐδαιμονία κατ' ἀρετὴν ἐνέργεια, εὔλογον VII.
κατὰ τὴν κρατίστην· αὕτη δ' ἂν εἴη τοῦ ἀρίστου. εἴτε δὴ νοῦς τοῦτο εἴτε ἄλλο τι, ὃ δὴ κατὰ φύσιν δοκεῖ ἄρχειν καὶ ἡγεῖ-
15 σθαι καὶ ἔννοιαν ἔχειν περὶ καλῶν καὶ θείων, εἴτε θεῖον ὂν καὶ αὐτὸ εἴτε τῶν ἐν ἡμῖν τὸ θειότατον, ἡ τούτου ἐνέργεια κατὰ τὴν οἰκείαν ἀρετὴν εἴη ἂν ἡ τελεία εὐδαιμονία. ὅτι δ' ἐστὶ θεωρητική, εἴρηται. ὁμολογούμενον δὲ τοῦτ' ἂν δόξειεν 2

---

27. δὴ ἡ cod. Par. 1417 : δὲ ἡ O^{b} : δὲ L^{b} M^{b} 28. τὸ om. M^{b} 1177^{a} 4. καὶ τῶν μετὰ L^{b}

bir kişi için ise en çok tercih edilen etkinlik kendi huyuna uygun olandır; erdemli kişi için erdeme uygun etkinlik en çok tercih edilen etkinliktir. O halde mutluluk, eğlencede değil; hedefin eğlence olması, tüm yaşam boyu eğlence uğruna çalışıp didinmek saçma. Nitekim, söylemek gerekirse, mutluluk dışında her şeyi bir başka şey uğruna tercih ediyoruz, çünkü hedef o. Oysa eğlence uğruna çabalamak, didinmek aptalca, çok çocukca görünüyor. Anakharsis'in dediği gibi, çalışıp didinmek amacıyla eğlenmek yerinde görünüyor. Nitekim eğlence bir dinlenmeye benziyor; kişiler sürekli didinip duramadıkları için dinlenmeye gereksinim duyuyor, dolayısıyla hedef dinlenme değil; çünkü amacı etkinlik. Mutlu yaşam erdeme uygun olandır, diye düşünülüyor; erdemse eğlenmede değil, çalışmakla birlikte olan bir şey. Yine erdemli şeylerin gülünç, eğlenceli şeylerden daha iyi olduğunu da söyleriz; insanın daha iyi yanının etkinliğini daha erdemli sayarız; daha iyi yanının etkinliği daha değerli, daha mutluluk vericidir. Herhangi bir insan ya da bir köle, bedensel hazlardan en iyi kişiden daha az hoşlanmayacaktır. Oysa hiç kimse, onu özgür yaşama bağlı tutmukça, mutluluğu bir köleyle bağdaştıramaz. Mutluluk bu tür eğlencelerde değildir, daha önce de dediğimiz gibi, mutluluk erdeme uygun etkinliklerdedir.

Mutluluk erdeme uygun bir etkinlik ise, en yüksek erdeme uygun olması ussal. Bu etkinlik de en iyiye özgü olsa gerek. İmdi bu ister us olsun, ister doğal olarak bizi yönettiği, yol gösterdiği, güzel, tanrısal şeylere özen gösterdiği düşünülen başka bir şey olsun; ister kendisi tanrısal bir şey olsun, ister bizdeki en tanrısal şey olsun, onun kendine özgü erdeme uygun etkinliği tam mutluluk olsa gerek. Bu etkinliğin ise teori etkinliği olduğunu söylemiştik. Bunun

εἶναι καὶ τοῖς πρότερον καὶ τῷ ἀληθεῖ. κρατίστη τε γὰρ
αὕτη ἐστὶν ἡ ἐνέργεια (καὶ γὰρ ὁ νοῦς τῶν ἐν ἡμῖν, καὶ τῶν
γνωστῶν, περὶ ἃ ὁ νοῦς)· ἔτι δὲ συνεχεστάτη· θεωρεῖν [τε]
3 γὰρ δυνάμεθα συνεχῶς μᾶλλον ἢ πράττειν ὁτιοῦν. οἰόμεθά
τε δεῖν ἡδονὴν παραμεμῖχθαι τῇ εὐδαιμονίᾳ, ἡδίστη δὲ τῶν
κατ' ἀρετὴν ἐνεργειῶν ἡ κατὰ τὴν σοφίαν ὁμολογουμένως
ἐστίν· δοκεῖ γοῦν ἡ φιλοσοφία θαυμαστὰς ἡδονὰς ἔχειν
καθαρειότητι καὶ τῷ βεβαίῳ, εὔλογον δὲ τοῖς εἰδόσι τῶν ζη-
4 τούντων ἡδίω τὴν διαγωγὴν εἶναι. ἥ τε λεγομένη αὐτάρκεια·
περὶ τὴν θεωρητικὴν μάλιστ' ἂν εἴη· τῶν μὲν γὰρ πρὸς τὸ
ζῆν ἀναγκαίων καὶ σοφὸς καὶ δίκαιος καὶ οἱ λοιποὶ δέονται,
τοῖς δὲ τοιούτοις ἱκανῶς κεχορηγημένων ὁ μὲν δίκαιος δεῖται
πρὸς οὓς δικαιοπραγήσει καὶ μεθ' ὧν, ὁμοίως δὲ καὶ ὁ σώ-
φρων καὶ ὁ ἀνδρεῖος καὶ τῶν ἄλλων ἕκαστος, ὁ δὲ σοφὸς
καὶ καθ' αὑτὸν ὢν δύναται θεωρεῖν, καὶ ὅσῳ ἂν σοφώτερος
ᾖ, μᾶλλον· βέλτιον δ' ἴσως συνεργοὺς ἔχων, ἀλλ' ὅμως
5 αὐταρκέστατος. δόξαι τ' ἂν αὐτὴ μόνη δι' αὑτὴν ἀγαπᾶ- 1177 b
σθαι· οὐδὲν γὰρ ἀπ' αὐτῆς γίνεται παρὰ τὸ θεωρῆσαι, ἀπὸ
δὲ τῶν πρακτικῶν ἢ πλεῖον ἢ ἔλαττον περιποιούμεθα παρὰ τὴν
6 πρᾶξιν. δοκεῖ τε ἡ εὐδαιμονία ἐν τῇ σχολῇ εἶναι· ἀσχο-
λούμεθα γὰρ ἵνα σχολάζωμεν, καὶ πολεμοῦμεν ἵν' εἰρήνην
ἄγωμεν. τῶν μὲν οὖν πρακτικῶν ἀρετῶν ἐν τοῖς πολιτικοῖς
ἡ ἐν τοῖς πολεμικοῖς ἡ ἐνέργεια, αἱ δὲ περὶ ταῦτα πράξεις
δοκοῦσιν ἄσχολοι εἶναι, αἱ μὲν πολεμικαὶ καὶ παντελῶς
(οὐδεὶς γὰρ αἱρεῖται τὸ πολεμεῖν τοῦ πολεμεῖν ἕνεκα, οὐδὲ
παρασκευάζει πόλεμον· δόξαι γὰρ ἂν παντελῶς μιαιφόνος
τις εἶναι, εἰ τοὺς φίλους πολεμίους ποιοῖτο, ἵνα μάχαι καὶ
φόνοι γίνοιντο)· ἔστι δὲ καὶ ἡ τοῦ πολιτικοῦ ἄσχολος, καὶ

---

19. τε om. M^b 21. τε om. Γ 30. τῶν δὲ τοιούτων L^b Γ 1177 b
1. τ' K^b: δ' vulg. 3. πρακτικῶν K^b: πρακτῶν vulg. 12. γίνηται
K^b: γίνωνται M^b

daha önce söylediklerimize, hakikate uygun olduğu görünse gerek, çünkü o en yüksek etkinlik (us, bizdeki en yüksek şey, bilinen şeylerin en yüksekleri de us nelerle ilgili ise onlar). Ayrıca o en sürekli etkinlik: Biz bir şeyi yapmaktan çok daha sürekli olarak teori yapabiliriz. Mutluluğa hazzın da katılması gerektiğine inanıyoruz; erdeme uygun etkinliklerin en hoşu ise bilgeliğe uygun etkinlik, bunda uzlaşılıyor. Aslında felsefenin arılık, sağlamlık açısından en hayranlık verici hazlan taşıdığı görünüyor; yaşamak, hakikati bilenler için, onu arayanlardan daha hoş, bu da usa uygun. 'Kendine yeterlik' dediğimiz şey de en çok teori etkinliği ile ilgili olsa gerek. Nitekim yaşam için zorunlu olan şeyleri hem bir bilge hem adil bir kişi hem de öteki insanlar gereksinir. Bu tür kişiler bunlara yeterince sahip olsalar bile, adil kişi onlara karşı, onlarla adil eylemde bulunacağı kişilere gereksinim duyar; ölçülü kişi, yiğit kişi, ötekilerin herbiri de öyle. Oysa bilge kişi kendi başına olsa bile teori etkinliğinde bulunabilir: Ne denli bilgeyse o denli çok. Birlikte çalışacağı kişilere sahip olursa belki daha iyi, ama yine de kendine en yeter kişi o. Yalnızca bu etkinliğin 'kendi başına' sevildiği görünse gerek: Çünkü ondan, teori etkinliğinin dışında hiçbir şey oluşmaz; yapılanlarda ise eylemin kendisi dışında az çok bir şey elde ederiz. Mutluluğun, dinginlik içinde olduğu da görünüyor: Dinginliğe ermek amacıyla dinginliği feda eder, barışı sürdürmek amacıyla savaşırız. İmdi uygulamalı erdemlerin etkinliği siyasal ya da askeri işlerde; ama birincilerle ilgili eylemler dinginee değil, diye düşünülür. Savaşla ilgili olanlar ise büsbütün böyle (nitekim hiçkimse savaş yapmak adına savaşı tercih etmiyor, ya da savaşa yol açmıyor; biri çatışma, ölüm olsun diye dostlarını düşman ediyorsa, hepten 'cani' diye düşünülse gerek). Siyasetçinin etkinliği

παρ' αὐτὸ τὸ πολιτεύεσθαι περιποιουμένη δυναστείας καὶ τιμὰς ἢ τήν γε εὐδαιμονίαν αὐτῷ καὶ τοῖς πολίταις, ἑτέραν οὖσαν τῆς πολιτικῆς, ἣν καὶ ζητοῦμεν δῆλον ὡς ἑτέραν οὖσαν. εἰ δὴ τῶν μὲν κατὰ τὰς ἀρετὰς πράξεων αἱ πολιτικαὶ καὶ 7
πολεμικαὶ κάλλει καὶ μεγέθει προέχουσιν, αὗται δ' ἄσχολοι καὶ τέλους τινὸς ἐφίενται καὶ οὐ δι' αὑτὰς αἱρεταί εἰσιν, ἡ δὲ τοῦ νοῦ ἐνέργεια σπουδῇ τε διαφέρειν δοκεῖ θεωρητικὴ οὖσα, καὶ παρ' αὐτὴν οὐδενὸς ἐφίεσθαι τέλους, καὶ ἔχειν τὴν ἡδονὴν οἰκείαν (αὕτη δὲ συναύξει τὴν ἐνέργειαν), καὶ τὸ αὐταρκες δὴ καὶ σχολαστικὸν καὶ ἄτρυτον ὡς ἀνθρώπῳ, καὶ ὅσα ἄλλα τῷ μακαρίῳ ἀπονέμεται, τὰ κατὰ ταύτην τὴν ἐνέργειαν φαίνεται ὄντα· ἡ τελεία δὴ εὐδαιμονία αὕτη ἂν εἴη ἀνθρώπου, λαβοῦσα μῆκος βίου τέλειον· οὐδὲν γὰρ ἀτελές ἐστι τῶν τῆς εὐδαιμονίας. ὁ δὲ τοιοῦτος ἂν εἴη βίος κρείττων ἢ 8
κατ' ἄνθρωπον· οὐ γὰρ ᾗ ἄνθρωπός ἐστιν οὕτω βιώσεται, ἀλλ' ᾗ θεῖόν τι ἐν αὐτῷ ὑπάρχει· ὅσον δὲ διαφέρει τοῦτο τοῦ συνθέτου, τοσοῦτον καὶ ἡ ἐνέργεια τῆς κατὰ τὴν ἄλλην ἀρετήν. εἰ δὴ θεῖον ὁ νοῦς πρὸς τὸν ἄνθρωπον, καὶ ὁ κατὰ τοῦτον βίος θεῖος πρὸς τὸν ἀνθρώπινον βίον. οὐ χρὴ δὲ κατὰ τοὺς παραινοῦντας ἀνθρώπινα φρονεῖν ἄνθρωπον ὄντα οὐδὲ θνητὰ τὸν θνητόν, ἀλλ' ἐφ' ὅσον ἐνδέχεται ἀθανατίζειν καὶ πάντα ποιεῖν πρὸς τὸ ζῆν κατὰ τὸ κράτιστον τῶν ἐν αὐτῷ· εἰ γὰρ καὶ
1178 τῷ ὄγκῳ μικρόν ἐστι, δυνάμει καὶ τιμιότητι πολὺ μᾶλλον πάντων ὑπερέχει. δόξειε δ' ἂν καὶ εἶναι ἕκαστος τοῦτο, εἴπερ 9
τὸ κύριον καὶ ἄμεινον. ἄτοπον οὖν γίνοιτ' ἄν, εἰ μὴ τὸν αὐτοῦ βίον αἱροῖτο ἀλλά τινος ἄλλου. τὸ λεχθέν τε πρότερον ἁρμόσει καὶ νῦν· τὸ γὰρ οἰκεῖον ἑκάστῳ τῇ φύσει κρά-

---

20. καὶ ἔχειν τὴν K^b: ἔχειν τε vulg. 21. οἰκείαν] τελείαν οἰκείαν K^b M^b 22. δὲ M^b ἀνθρώπινον L^b Γ 23. τὰ om. L^b 24. ἀνθρώπῳ K^b 28. ὅσον—29. τοσοῦτον K^b: ὅσῳ—τοσούτῳ vulg.
1178ª 1. ποιότητι K^b 2. δ' om. K^b M^b ἕκαστος (-ον Γ) εἶναι L^b Γ

de dinginlik içinde değil. Devlet yönetimiyle uğraşmak dışında, iktidar, onur ya da kendisi için ve yurttaşlar için siyasetten farklı olan bir mutluluk sağlamaya çalışır; mutluluğu siyasetten farklı bir şey olarak incelediğimiz de açık. İmdi erdeme uygun eylemlerden siyasetle ve savaşla ilgili olanlar büyüklük bakımından öne çıkıyorsa, bunlar dinginlikle ilgili değildir, bir amaca yönelir, kendilerinden ötürü tercih edilesi eylemler değildir. Oysa us etkinliği teori ile ilgili olduğundan ötürü, erdemce farklılık taşır, kendisi dışında hiçbir hedefe yönelmez, kendine özgü bir haz taşır (bu da etkinliği kamçılar), kendine yeterlidir, dingincedir, bir insan için olabildiğince kesintisizdir, mutlu bir kişiye yakışan bütün öteki özellikler, bu etkinliğe uygun görünür. Demek ki, bir insanın tam mutluluğu bu olsa gerek: Ama yaşamın tamamını kapsarsa, çünkü mutlulukla ilgili konularda tam olmayan bir şey olmaz. Ne ki, bu tür bir yaşam bir insanın doğasını aşacaktır, çünkü bir insan olmakla değil, onda tanrıca bir özellik bulunmakla, böyle yaşayacaktır; bu, insan yapısında ne denli farklı ise, onun etkinliği de öteki erdemlere uygun olan etkinliklerden o denli farklı olur. İmdi us, insandaki tanrıca bir şey ise, usa uygun yaşam da insan yaşamındaki tanrıca bir şey olacaktır. İmdi, insan olduğumuzdan insanla ilgili şeylerle, ölümlü olduğumuzdan ölümlülerle ilgili olan şeylerle ilgilenmemizi öğütleyenleri dinlememeli; kendimizi olabildiğince ölümsüzleştirmeli, bizdeki en üstün şeye uygun yaşamak için her şeyi yapmalı. Nitekim o, kütlece küçük olsa bile, olanak, değer bakımından her şeyi çok çok aşar. Asıl olan, en iyi olan o ise, herbir kişiyi o kişi yapanın da us olduğu görülse gerek. İmdi insan kendi yaşamını değil, başka birininkini tercih etse, bu saçma olacaktır. Daha önce söylediğimiz de şimdi söylediğimize uyuyor: Doğal olarak herbir kişiye özgü olan şey, onun için en asıl

τιστον καὶ ἥδιστόν ἐστιν ἑκάστῳ· καὶ τῷ ἀνθρώπῳ δὴ ὁ κατὰ τὸν νοῦν βίος, εἴπερ τοῦτο μάλιστα ἄνθρωπος. οὗτος ἄρα καὶ εὐδαιμονέστατος.

VIII. Δευτέρως δ' ὁ κατὰ τὴν ἄλλην ἀρετήν· αἱ γὰρ κατὰ 8
ταύτην ἐνέργειαι ἀνθρωπικαί. δίκαια γὰρ καὶ ἀνδρεῖα καὶ τὰ 10
ἄλλα τὰ κατὰ τὰς ἀρετὰς πρὸς ἀλλήλους πράττομεν ἐν
συναλλάγμασι καὶ χρείαις καὶ πράξεσι παντοίαις ἔν τε
τοῖς πάθεσι διατηροῦντες τὸ πρέπον ἑκάστῳ· ταῦτα δ' εἶναι
2 φαίνεται πάντα ἀνθρωπικά. ἔνια δὲ καὶ συμβαίνειν ἀπὸ
τοῦ σώματος δοκεῖ, καὶ πολλὰ συνῳκειῶσθαι τοῖς πάθεσιν 15
3 ἡ τοῦ ἤθους ἀρετή. συνέζευκται δὲ καὶ ἡ φρόνησις τῇ τοῦ
ἤθους ἀρετῇ, καὶ αὕτη τῇ φρονήσει, εἴπερ αἱ μὲν τῆς φρο-
νήσεως ἀρχαὶ κατὰ τὰς ἠθικάς εἰσιν ἀρετάς, τὸ δ' ὀρθὸν
τῶν ἠθικῶν κατὰ τὴν φρόνησιν. συνηρτημέναι δ' αὗται καὶ
τοῖς πάθεσι περὶ τὸ σύνθετον ἂν εἶεν· αἱ δὲ τοῦ συνθέτου ἀρε- 20
ταὶ ἀνθρωπικαί· καὶ ὁ βίος δὴ ὁ κατὰ ταύτας καὶ ἡ εὐδαι-
μονία. ἡ δὲ τοῦ νοῦ κεχωρισμένη· τοσοῦτον γὰρ περὶ αὐτῆς
4 εἰρήσθω· διακριβῶσαι γὰρ μεῖζον τοῦ προκειμένου ἐστίν. δόξειε
δ' ἂν καὶ τῆς ἐκτὸς χορηγίας ἐπὶ μικρὸν ἡ ἐπ' ἔλαττον δεῖ-
σθαι τῆς ἠθικῆς. τῶν μὲν γὰρ ἀναγκαίων ἀμφοῖν χρεία 25
καὶ ἐξ ἴσου ἔστω, εἰ καὶ μᾶλλον διαπονεῖ περὶ τὸ σῶμα ὁ
πολιτικός, καὶ ὅσα τοιαῦτα· μικρὸν γὰρ ἄν τι διαφέροι·
πρὸς δὲ τὰς ἐνεργείας πολὺ διοίσει. τῷ μὲν γὰρ ἐλευθερίῳ
δεήσει χρημάτων πρὸς τὸ πράττειν τὰ ἐλευθέρια, καὶ τῷ
δικαίῳ δὴ εἰς τὰς ἀνταποδόσεις (αἱ γὰρ βουλήσεις ἄδηλοι, 30
προσποιοῦνται δὲ καὶ οἱ μὴ δίκαιοι βούλεσθαι δικαιοπραγεῖν),
τῷ ἀνδρείῳ δὲ δυνάμεως, εἴπερ ἐπιτελεῖ τι τῶν κατὰ τὴν

---

9. *κατ' αὐτὴν* L^b Γ 10. *τὰ* add. L^b 19. *συνηρτημένη δ' αἱ ταῖς* K^b 21. *κατ' αὐτὰς* L^b 23. *εἰρήσθω* Aretinus : *εἴρηται* codd. *ἀκριβῶσαι* K^b *γὰρ*] *δὲ* codex Victorii 24. *ἐπὶ*] *ἢ ἐπὶ* K^b M^b 27. *διαφέρειν* K^b 28. *συνδιοίσει* K^b 32. *τὴν* add. K^b

olan, en hoş olandır. O halde bir insan özellikle o olduğundan ötürü, "insan" için bu, 'akla göre yaşam'dır. Demek ki en mutlu yaşam da budur.

Karakter erdemine uygun yaşam ikinci sırada gelir, çünkü buna uygun etkinlikler 'insanıl'. Alışverişlerde, hizmetlerde, her tür eylemlerde, tutkularda herbir kişiye özgü olanı gözönüne alarak biribirimize karşı adil, cesur, erdemlere uygun başka şeyler yapıyoruz; bütün bunların da insanıl olduğu görünüyor. Karakter erdemi kimi durumlarda bedene bağlı, çoğu durumda da tutkularla içiçe diye düşünülür. Aklı başındalık karakter erdemiyle, beriki de aklı başındalıkla içiçe: Aklı başındalığın ilkeleri karakter erdemlerine uyuyor; karakter erdemlerindeki doğruluk aklı başındalığa. Erdemler tutkulara bağlı olduğundan ötürü insanın birleşik yapısıyla ilgili olsalar gerek. Bu birleşik yapının erdemleri de insanıl. Demek ki, yaşam ile mutluluk da onlara bağlı. Usunki ise ayrıbaşına; ama onun üzerine söylediklerimiz yeter, bunu daha kesince belirlemek elimizdeki konuyu aşıyor. Ne ki, usa bağlı mutluluğun dışa ait iyilere pek az gereksinim duyduğu, ya da karakter erdemine bağlı olanlardan daha az gereksinim duyduğu görünse gerek. Nitekim siyasetçi bedenle, bu tür pek çok şeyle daha çok ilgilense bile, herikisinin de zorunlu şeylere gereksinimleri eşit olacaktır, çünkü berikilerde çok az fark olur. Ama etkinliklerle ilgili fark büyük olacaktır. Nitekim cömert kişi cömertçe şeyler yapmak için, adil kişi yapılanın karşılığını verebilmek için parayı gereksenecek (çünkü 'niyet' belirsiz bir şey; adil olmayanlar da adil davranmaya niyetliymiş gibi görünebiliyorlar); yiğit kişi kendi erdemine uygun bir şey yapacaksa güce gereksinim duyacak,

ἀρετήν, καὶ τῷ σώφρονι ἐξουσίας· πῶς γὰρ δῆλος ἔσται ἢ οὗτος ἢ τῶν ἄλλων τις; ἀμφισβητεῖταί τε πότερον κυριώτε- 5
ρον τῆς ἀρετῆς ἡ προαίρεσις ἢ αἱ πράξεις, ὡς ἐν ἀμφοῖν
1178b οὔσης· τὸ δὴ τέλειον δῆλον ὡς ἐν ἀμφοῖν ἂν εἴη· πρὸς δὲ
τὰς πράξεις πολλῶν δεῖται, καὶ ὅσῳ ἂν μείζους ὦσι καὶ
καλλίους, πλειόνων. τῷ δὲ θεωροῦντι οὐδενὸς τῶν τοιούτων 6
πρός γε τὴν ἐνέργειαν χρεία, ἀλλ' ὡς εἰπεῖν καὶ ἐμπόδιά ἐστι
5 πρός γε τὴν θεωρίαν· ἢ δ' ἄνθρωπός ἐστι καὶ πλείοσι συζῇ,
αἱρεῖται τὰ κατὰ τὴν ἀρετὴν πράττειν· δεήσεται οὖν τῶν τοιού-
των πρὸς τὸ ἀνθρωπεύεσθαι. ἡ δὲ τελεία εὐδαιμονία ὅτι θεωρη- 7
τική τις ἐστὶν ἐνέργεια, καὶ ἐντεῦθεν ἂν φανείη. τοὺς θεοὺς
γὰρ μάλιστα ὑπειλήφαμεν μακαρίους καὶ εὐδαίμονας εἶναι·
10 πράξεις δὲ ποίας ἀπονεῖμαι χρεὼν αὐτοῖς; πότερα τὰς δι-
καίας; ἢ γελοῖοι φανοῦνται συναλλάττοντες καὶ παρακατα-
θήκας ἀποδιδόντες καὶ ὅσα τοιαῦτα; ἀλλὰ τὰς ἀνδρείους**
ὑπομένοντας τὰ φοβερὰ καὶ κινδυνεύοντας ὅτι καλόν; ἢ
τὰς ἐλευθερίους; τίνι δὲ δώσουσιν; ἄτοπον δ' εἰ καὶ ἔσται
15 αὐτοῖς νόμισμα ἤ τι τοιοῦτον. αἱ δὲ σώφρονες τί ἂν εἶεν;
ἢ φορτικὸς ὁ ἔπαινος, ὅτι οὐκ ἔχουσι φαύλας ἐπιθυμίας;
διεξιοῦσι δὲ πάντα φαίνοιτ' ἂν τὰ περὶ τὰς πράξεις μικρὰ
καὶ ἀνάξια θεῶν. ἀλλὰ μὴν ζῆν γε πάντες ὑπειλήφασιν
αὐτοὺς καὶ ἐνεργεῖν ἄρα· οὐ γὰρ δὴ καθεύδειν ὥσπερ τὸν
20 Ἐνδυμίωνα. τῷ δὴ ζῶντι τοῦ πράττειν ἀφαιρουμένου, ἔτι δὲ
μᾶλλον τοῦ ποιεῖν, τί λείπεται πλὴν θεωρία; ὥστε ἡ τοῦ θεοῦ
ἐνέργεια, μακαριότητι διαφέρουσα, θεωρητικὴ ἂν εἴη· καὶ
τῶν ἀνθρωπίνων δὴ ἡ ταύτῃ συγγενεστάτη εὐδαιμονικωτάτη.
σημεῖον δὲ καὶ τὸ μὴ μετέχειν τὰ λοιπὰ ζῷα εὐδαιμονίας, 8

---

34. δὲ L^b: δέ γε Γ 1178b 6. τὸ M^b Γ τὴν add. K^b 12. ὅσα] ὅσα ἄλλα L^b Γ post ἀνδρείους excidisse nonnihil videtur 13. ὑπο-
μένοντας K^b 15. αἱ L^b: εἰ vulg. 18. γε Coraes: τε $K^b L^b$: om. M^b Γ 20. δὲ Heliodorus 21. θεωρίας L^b Γ 23. δὴ ἂν εἴη ἡ K^b

ölçülü kişi de istenç özgürlüğüne.[82] Yoksa öyle ya da başka türlü biri olduğu nasıl belli olacak? Madem herikisinde de var, acaba erdemi tercih mi asıl olan şey, yoksa erdemli eylem mi asıl olan şey, sorusu da tartışılır. Açık ki, tamlık herikisinde de olacak. Eylemler konusunda pek çok şeye gerek var: Ne denli önemli iseler o denli çok. Oysa teori yapmakta olan birine etkinliği için bunlardan hiçbiri gerekli değil, hatta bunların teoriye engel olduğu söylenebilir. İnsan olduğu için ve pek çok kişiyle birlikte yaşadığı için erdeme uygun olanları yapmayı tercih eder; demek ki, 'insanca' yaşamak için böyle şeylere gerek var. Tam mutluluğun bir teori etkinliği olduğu şuradan da açık olsa gerek: Biz en çok tanrıların bahtlı, mutlu olduklarını kabul ederiz. Öyleyse onlara hangi eylemleri yakıştırmak gerekiyor? Acaba adil eylemleri mi? Ama onlar sözleşme yaparlarsa, güvence parası verirlerse ya da buna benzer şeyler yapárlarsa gülünç olmazlar mı? Acaba yiğitce [eylemleri mi onlara yakıştıracağız]? Güzel olduğu için korkutucu işler yapıp, tehlikelere mi girerler? Yoksa cömertce eylemleri mi? Kime verecekler? Onların parası ya da buna benzer şeyleri olsa, bu saçma olur. Ölçülü eylemleri neler olabilirdi? Çirkin arzuları olmadığından onları övmek densizlik olmaz mı? Eylemlerle ilgili şeyler düşünülecek olursa, hepsi tanrılar için küçük, değersiz görünecektir. Ne ki, herkes onların yaşadıklarını, etkinlikte bulunduklarını, Endymion[83] gibi uyumadıklarını kabul ediyor. İmdi bir canlı olarak eylemek çekilip alındıkta geriye teoriden başka ne kalır? Dolayısıyla tanrının etkinliği, madem mutluluk bakımından farklı, olsa olsa bir teori etkinliği olur. Demek ki, insanıl etkinlikler arasında bu etkinliğe türce en yakın etkinlik en mutluluk verici olur. Öteki canlıların bu tür bir etkinlikten bütünüyle yoksun

35 1178b 5 10 15 20

τῆς τοιαύτης ἐνεργείας ἐστερημένα τελείως. τοῖς μὲν γὰρ θεοῖς ἅπας ὁ βίος μακάριος, τοῖς δ' ἀνθρώποις, ἐφ' ὅσον ὁμοίωμά τι τῆς τοιαύτης ἐνεργείας ὑπάρχει· τῶν δ' ἄλλων ζῴων οὐδὲν εὐδαιμονεῖ, ἐπειδὴ οὐδαμῇ κοινωνεῖ θεωρίας. ἐφ' ὅσον δὴ διατείνει ἡ θεωρία, καὶ ἡ εὐδαιμονία, καὶ οἷς μᾶλλον ὑπάρχει τὸ θεωρεῖν, καὶ εὐδαιμονεῖν, οὐ κατὰ συμβεβηκὸς ἀλλὰ κατὰ τὴν θεωρίαν· αὕτη γὰρ καθ' αὑτὴν τιμία. ὥστ' εἴη ἂν ἡ εὐδαιμονία θεωρία τις.

9 Δεήσει δὲ καὶ τῆς ἐκτὸς εὐημερίας ἀνθρώπῳ ὄντι· οὐ γὰρ αὐτάρκης ἡ φύσις πρὸς τὸ θεωρεῖν, ἀλλὰ δεῖ καὶ τὸ σῶμα ὑγιαίνειν καὶ τροφὴν καὶ τὴν λοιπὴν θεραπείαν ὑπάρχειν. οὐ μὴν οἰητέον γε πολλῶν καὶ μεγάλων δεήσεσθαι τὸν εὐδαιμονήσοντα, εἰ μὴ ἐνδέχεται ἄνευ τῶν ἐκτὸς ἀγαθῶν μακάριον εἶναι· οὐ γὰρ ἐν τῇ ὑπερβολῇ τὸ αὔταρκες οὐδ' ἡ πρᾶξις, δυνατὸν δὲ καὶ μὴ ἄρχοντα γῆς καὶ θαλάττης πράττειν τὰ καλά· καὶ γὰρ ἀπὸ μετρίων δύναιτ' ἄν τις πράττειν κατὰ τὴν ἀρετήν (τοῦτο δ' ἔστιν ἰδεῖν ἐναργῶς· οἱ γὰρ ἰδιῶται τῶν δυναστῶν οὐχ ἧττον δοκοῦσι τὰ ἐπιεικῆ πράττειν, ἀλλὰ καὶ μᾶλλον)· ἱκανὸν δὲ τοσαῦθ' ὑπάρχειν· ἔσται γὰρ ὁ 11 βίος εὐδαίμων τοῦ κατὰ τὴν ἀρετὴν ἐνεργοῦντος. καὶ Σόλων δὲ τοὺς εὐδαίμονας ἴσως ἀπεφαίνετο καλῶς, εἰπὼν μετρίως τοῖς ἐκτὸς κεχορηγημένους, πεπραγότας δὲ τὰ κάλλιστ', ὡς ᾤετο, καὶ βεβιωκότας σωφρόνως· ἐνδέχεται γὰρ μέτρια κεκτημένους πράττειν ἃ δεῖ. ἔοικε δὲ καὶ Ἀναξαγόρας οὐ πλούσιον οὐδὲ δυνάστην ὑπολαβεῖν τὸν εὐδαίμονα, εἰπὼν ὅτι οὐκ ἂν θαυμάσειεν εἴ τις ἄτοπος φανείη τοῖς πολλοῖς· οὗτοι 12 γὰρ κρίνουσι τοῖς ἐκτός, τούτων αἰσθανόμενοι μόνων. συμφω-

---

31. κατ' αὐτὴν K^b κρίσις οὐδ' αἱ πράξεις M^b M^b 11. τὰ om. K^b

1179ᵃ 3. πρᾶξις K^b: κρίσις οὐδ' ἡ πρᾶξις L^b Γ: 4. ἄρχοντας L^b Γ 6. κατὰ] τὰ κατὰ κάλλιστ', ὡς] κάλλιστ' K^b Γ 12. ᾤετο] οἷόν τε coni. Lambinus

olmaları yüzünden mutluluktan pay almamaları da bunun kanıtı. Tanrılar için yaşamın bütünü mutludur, insanlar içinse, bu tür bir etkinliğe benzer bir etkinlikleri bulunduğu ölçüde. Oysa hiçbir teori etkinliğinden pay almadıkları için, öteki canlılardan hiçbiri mutlu olamaz. İmdi, teori olduğu ölçüde mutluluk olur; daha çok teori etkinliğinde olan kişiler için mutluluk söz konusudur; bu da rastgele değil, teori yaşamına göre olur. O kendi başına değerli. Dolayısıyla mutluluk bir tür teori olsa gerek.

Ne ki, insan olduğu için dış iyilere de gerek duyacaktır, çünkü doğası, teori yaşamıyla ilgisi içinde 'kendine yeter' değil: Bedenin sağlıklı olması, beslenme, öteki gerekenler de bulunmalı. Dış iyiler olmaksızın mutlu olunamasa bile, sanılmamalı ki, mutlu kişi olmak için pek çok, büyük şeylere gerek duyulacak: Kendine yeterlik ile eylem ise aşırılıkta değildir; "denize-karaya egemen olmadan" da iyi şeyler yapmak olanaklı. Dozunda olanakla da erdeme göre davranılabilir (bunu açıkça görmek olanaklı: Sıradan yurttaşın iktidarda olanlardan hiç de daha az değil, üstelik daha çok doğru şeyler yaptığı görünüyor), bu yeter. Erdeme göre etkinlikte bulunan kişinin yaşamı mutlu olacaktır. Solon da dış iyileri dozunca elde etmiş, en güzel şeyleri düşündüğü gibi gerçekleştirmiş, ölçülü bir biçimde yaşamış kişilere "mutlu" derken, herhalde bunu gereğince onaylar: ancak dozunca iyi elde etmiş olanların gerekenleri yapmaları olası. Öyle görünüyor ki, mutlu kişi pek çoklarına garip biri görünüyorsa, buna şaşmamak gerektiğini söyleyen Anaksagoras da, zengin ya da iktidardaki birini 'mutlu' diye ele almıyor.[84] Oysa çoğunluk yalnızca bunları farkedebildiğinden, mutluluğu dış iyilere göre değerlendiriyor. İmdi

νεῖν δὴ τοῖς λόγοις ἐοίκασιν αἱ τῶν σοφῶν δόξαι. πίστιν μὲν οὖν καὶ τὰ τοιαῦτα ἔχει τινά, τὸ δ' ἀληθὲς ἐν τοῖς πρακτικοῖς ἐκ τῶν ἔργων καὶ τοῦ βίου κρίνεται· ἐν τούτοις γὰρ τὸ κύριον. σκοπεῖν δὴ τὰ προειρημένα χρὴ ἐπὶ τὰ ἔργα καὶ τὸν βίον φέροντας, καὶ συνᾳδόντων μὲν τοῖς ἔργοις ἀποδεκτέον, διαφωνούντων δὲ λόγους ὑπολητέον. ὁ δὲ κατὰ 13 νοῦν ἐνεργῶν καὶ τοῦτον θεραπεύων καὶ διακείμενος ἄριστα καὶ θεοφιλέστατος ἔοικεν. εἰ γάρ τις ἐπιμέλεια τῶν ἀνθρωπίνων ὑπὸ θεῶν γίνεται, ὥσπερ δοκεῖ, καὶ εἴη ἂν εὔλογον χαίρειν τε αὐτοὺς τῷ ἀρίστῳ καὶ συγγενεστάτῳ (τοῦτο δ' ἂν εἴη ὁ νοῦς) καὶ τοὺς ἀγαπῶντας μάλιστα τοῦτο καὶ τιμῶντας ἀντευποιεῖν ὡς τῶν φίλων αὐτοῖς ἐπιμελουμένους καὶ ὀρθῶς τε καὶ καλῶς πράττοντας. ὅτι δὲ πάντα ταῦτα τῷ σοφῷ μάλισθ' ὑπάρχει, οὐκ ἄδηλον. θεοφιλέστατος ἄρα. τὸν αὐτὸν δ' εἰκὸς καὶ εὐδαιμονέστατον· ὥστε κἂν οὕτως εἴη ὁ σοφὸς μάλιστ' εὐδαίμων.

10 Ἆρ' οὖν εἰ περί τε τούτων καὶ τῶν ἀρετῶν, ἔτι δὲ καὶ φι- IX.
λίας καὶ ἡδονῆς, ἱκανῶς εἴρηται τοῖς τύποις, τέλος ἔχειν οἰητέον τὴν προαίρεσιν; ἢ καθάπερ λέγεται, οὐκ ἔστιν ἐν τοῖς 1179 b πρακτοῖς τέλος τὸ θεωρῆσαι ἕκαστα καὶ γνῶναι, ἀλλὰ μᾶλλον τὸ πράττειν αὐτά· οὐδὲ δὴ περὶ ἀρετῆς ἱκανὸν τὸ 2 εἰδέναι, ἀλλ' ἔχειν καὶ χρῆσθαι πειρατέον, ἢ εἴ πως ἄλλως ἀγαθοὶ γινόμεθα; εἰ μὲν οὖν ἦσαν οἱ λόγοι αὐτάρκεις πρὸς 3 τὸ ποιῆσαι ἐπιεικεῖς, πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους δικαίως ἔφερον κατὰ τὸν Θέογνιν, καὶ ἔδει ἂν τούτους πορίσασθαι· νῦν δὲ φαίνονται προτρέψασθαι μὲν καὶ παρορμῆσαι

---

18. τὰ om. K^b 19. πρακτοῖς L^b 20. δὴ K^b: δὲ vulg. 21. ἐπιφέροντας L^b Γ 24. ἔοικεν εἶναι· εἰ L^b Γ ἀνθρώπων K^b 26. καὶ] καὶ τῷ L^b M^b 30. θεοφιλέστατον K^b M^b 31. δ' om. K^b M^b 33. τε om. K^b M^b καὶ post δὲ om. K^b Γ 1179 b 4. γινόμεθα K^b Γ 5. μεγάλους om. K^b

bilgelerin kanıları da bizim dediklerimize uyar görünüyor. Bunlar belli bir inandırıcılık taşıyor, ama yapılanlardaki doğruluk işlere ve yaşama göre değerlendirilir: Çünkü asıl olan bunlarda. Demek ki, önceden söylediklerini işlerine, yaşamlarına taşıyorlar mı, buna bakmalı: Sözler işlere uyuyorsa onları kabul etmeli, uymuyorlarsa "lafta" kaldığını düşünmeli. Ne ki, usa uygun etkinlikte bulunan, buna özen gösteren kişinin, en iyi şeylere yatkın ve tanrılarca en çok sevilen kişi olduğu görünüyor. Çünkü düşünüldüğü gibi, tanrıların insanıl şeylere bir ilgisi varsa; onların en iyiden, kendilerine en yakın olandan (bu da us olsa gerek) hoşlanmaları; en çok usu sevenleri, ona değer verenleri; onlarca sevilenlere özen gösterdikleri için; doğru, güzel davrandıkları için ödüllendirmeleri usa uygun. Bütün bunların ise en çok bir bilgede bulunduğu açık: İmdi tanrılarca en sevilen kişi de o. Onun en mutlu kişi olması da doğal; dolayısıyla bilge kişi bu açıdan da son derece mutlu olsa gerek.

İmdi bunlar üzerine, erdemler üzerine, yine dostluk, haz üzerine biçimsel olarak yeterince sözettiysek, acaba bizim tercihimizin hedefine ulaştığını mı düşünmeliyiz? Yoksa dediğimiz gibi, yapılan işlerde hedef tek tek şeyleri araştırmak, bilmek değildir de, daha çok bunları yapmak mı? Erdemi bilmek yeterli değildir de, elde etmeye, onu kullanmaya mı çalışmalı? Acaba başkaca nasıl "iyi" olabiliriz? Sözler kişileri doğru kılmak için yeterli olsalardı, Theognis'in dediği gibi, haklı olarak sözlere pek çok, önemli ödüller verilirdi, bunun sağlanması gerekirdi. Ne ki sözler özgür gençleri güçlü olmaya;

τῶν νέων τοὺς ἐλευθερίους ἰσχύειν, ἤθός τ' εὐγενὲς καὶ ὡς ἀληθῶς φιλόκαλον ποιῆσαι ἂν κατοκώχιμον ἐκ τῆς ἀρετῆς, τοὺς δὲ πολλοὺς ἀδυνατεῖν πρὸς καλοκαγαθίαν προτρέψασθαι· 10
4 οὐ γὰρ πεφύκασιν αἰδοῖ πειθαρχεῖν ἀλλὰ φόβῳ, οὐδ' ἀπέχεσθαι τῶν φαύλων διὰ τὸ αἰσχρὸν ἀλλὰ διὰ τὰς τιμωρίας· πάθει γὰρ ζῶντες τὰς οἰκείας ἡδονὰς διώκουσι καὶ δι' ὧν αὖται ἔσονται, φεύγουσι δὲ τὰς ἀντικειμένας λύπας, τοῦ δὲ καλοῦ καὶ ὡς ἀληθῶς ἡδέος οὐδ' ἔννοιαν ἔχουσιν, ἄγευ- 15
5 στοι ὄντες. τοὺς δὴ τοιούτους τίς ἂν λόγος μεταρρυθμίσαι; οὐ γὰρ οἷόν τε ἢ οὐ ῥᾴδιον τὰ ἐκ παλαιοῦ τοῖς ἤθεσι κατειλημμένα λόγῳ μεταστῆσαι· ἀγαπητὸν δ' ἴσως ἐστὶν εἰ πάντων ὑπαρχόντων δι' ὧν ἐπιεικεῖς δοκοῦμεν γίνεσθαι, μεταλάβοι-
6 μεν τῆς ἀρετῆς. γίνεσθαι δ' ἀγαθοὺς οἴονται οἱ μὲν φύσει 20 οἱ δ' ἔθει οἱ δὲ διδαχῇ. τὸ μὲν οὖν τῆς φύσεως δῆλον ὡς οὐκ ἐφ' ἡμῖν ὑπάρχει, ἀλλὰ διά τινας θείας αἰτίας τοῖς ὡς ἀληθῶς εὐτυχέσιν ὑπάρχει· ὁ δὲ λόγος καὶ ἡ διδαχὴ μή ποτ' οὐκ ἐν ἅπασιν ἰσχύει, ἀλλὰ δεῖ προδιειργάσθαι τοῖς ἔθεσι τὴν τοῦ ἀκροατοῦ ψυχὴν πρὸς τὸ καλῶς χαίρειν καὶ 25
7 μισεῖν, ὥσπερ γῆν τὴν θρέψουσαν τὸ σπέρμα. οὐ γὰρ ἂν ἀκούσειε λόγου ἀποτρέποντος οὐδ' αὖ συνείη ὁ κατὰ πάθος ζῶν· τὸν δ' οὕτως ἔχοντα πῶς οἷόν τε μεταπεῖσαι; ὅλως τ'
8 οὐ δοκεῖ λόγῳ ὑπείκειν τὸ πάθος ἀλλὰ βίᾳ. δεῖ δὴ τὸ ἦθος προϋπάρχειν πως οἰκεῖον τῆς ἀρετῆς, στέργον τὸ καλὸν καὶ 30 δυσχεραῖνον τὸ αἰσχρόν. ἐκ νέου δ' ἀγωγῆς ὀρθῆς τυχεῖν πρὸς ἀρετὴν χαλεπὸν μὴ ὑπὸ τοιούτοις τραφέντα νόμοις· τὸ γὰρ σωφρόνως καὶ καρτερικῶς ζῆν οὐχ ἡδὺ τοῖς πολλοῖς, ἄλλως τε καὶ νέοις. διὸ νόμοις δεῖ τετάχθαι τὴν τροφὴν καὶ τὰ ἐπιτηδεύματα· οὐκ ἔσται γὰρ λυπηρὰ συνήθη γενό- 35

---

17. ἤθεσι Γ L^b: δέῃ K^b 22. ὡς om. K^b 25. ἤθεσι L^b 24. ἐνισχύῃ M^b δεῖ M^b Γ: δέει 35. γενόμενα O^b: γινόμενα vulg.

alışkanlıklarını soylu, gerçekten güzeli sever, erdemlere bağlı kılmaya yüreklendiriyor, özendiriyor ama pek çoğunu "**iyi-güzel**"e ulaştıramıyor. Çünkü onlar doğal olarak utanma duygusuna değil, korkuya baş eğer; kötüden çirkinlikler yüzünden değil, cezalar yüzünden uzak dururlar. Tutkuyla yaşadıklarından kendilerine özgü hazların, bunları sağlayacak şeylerin peşinde koşuyorlar; bunlara karşıt acılardan kaçıyorlar; oysa 'güzel'i, gerçekten hoş olanı- tadına varamadıklarından-, bunları düşünmüyorlar bile. İmdi böyle insanları hangi söz değiştirebilir? Nicedir karaktere işlemiş şeyleri bir sözle değiştirmek ya olanaklı değildir ya da kolay değildir. Ama belki de istenecek şey şu: Onlar aracılığıyla doğru kişiler olarak göründüğümüz her şey bizde bulunursa erdemden pay alabiliriz. Öte yandan kimi doğal olarak, kimi alışkanlıkla, kimi de eğitimle "iyi" olur, diye düşünülüyor. İmdi doğadan kaynaklananın bize bağlı olmadığı, onun gerçekten şanslı kişilerde tanrısal bir nedenle bulunduğu açık. Söz ile eğitim ise her zaman, herkes üzerinde etkili değil; tıpkı toprağın tohumu yeşertmesi gibi, dinleyenin ruhunu güzelce hoşlanacak, gerekenden nefret edecek şekilde alışkanlıklarla işlemelidir. Çünkü tutkuya göre yaşayan kişi onu bundan vazgeçirecek söze kulak vermeyebilir. İmdi bu tür birini değiştirmek nasıl olanaklı? Genellikle tutkunun söze değil, zora başeğdiği görünüyor. Demek ki güzeli seven, çirkinin düşmanı olan, belli bir şekilde erdeme özgü bir karakterin oluşması gerekiyor. Bunu gerçekleştirebilecek yasalarla yetiştirilmemişse, gençliğinden itibaren erdeme yönelen doğru bir eğitim alması zor olur. Ölçülü bir şekilde, sağlam karakterli yaşamak çoğunluk için, özellikle de gençler için pek hoş değil. Bundan ötürü eğitim ve uğraşlar yasalarla belirlenmeli: Alışkanlık haline gelen şeyler artık

1180ª μενα. οὐχ ἱκανὸν δ' ἴσως νέους ὄντας τροφῆς καὶ ἐπιμελείας 9
τυχεῖν ὀρθῆς, ἀλλ' ἐπειδὴ καὶ ἀνδρωθέντας δεῖ ἐπιτηδεύειν
αὐτὰ καὶ ἐθίζεσθαι, καὶ περὶ ταῦτα δεοίμεθ' ἂν νόμων,
καὶ ὅλως δὴ περὶ πάντα τὸν βίον· οἱ γὰρ πολλοὶ ἀνάγκῃ
μᾶλλον ἢ λόγῳ πειθαρχοῦσι καὶ ζημίαις ἢ τῷ καλῷ. διόπερ 10
οἵονταί τινες τοὺς νομοθετοῦντας δεῖν μὲν παρακαλεῖν ἐπὶ τὴν
ἀρετὴν καὶ προτρέπεσθαι τοῦ καλοῦ χάριν, ὡς ἐπακουσομένων
τῶν ἐπιεικῶς τοῖς ἔθεσι προηγμένων, ἀπειθοῦσι δὲ καὶ ἀφυε-
στέροις οὖσι κολάσεις τε καὶ τιμωρίας ἐπιτιθέναι, τοὺς δ' ἀνιά-
τους ὅλως ἐξορίζειν· τὸν μὲν γὰρ ἐπιεικῆ πρὸς τὸ καλὸν
ζῶντα τῷ λόγῳ πειθαρχήσειν, τὸν δὲ φαῦλον ἡδονῆς ὀρε-
γόμενον λύπῃ κολάζεσθαι ὥσπερ ὑποζύγιον. διὸ καί φασι
δεῖν τοιαύτας γίνεσθαι τὰς λύπας αἳ μάλιστ' ἐναντιοῦνται
ταῖς ἀγαπωμέναις ἡδοναῖς. εἰ δ' οὖν, καθάπερ εἴρηται, τὸν 11
ἐσόμενον ἀγαθὸν τραφῆναι καλῶς δεῖ καὶ ἐθισθῆναι, εἶθ'
οὕτως ἐν ἐπιτηδεύμασιν ἐπιεικέσι ζῆν καὶ μήτ' ἄκοντα μήθ'
ἑκόντα πράττειν τὰ φαῦλα, ταῦτα δὲ γίνοιτ' ἂν βιουμέ-
νοις κατά τινα νοῦν καὶ τάξιν ὀρθήν, ἔχουσαν ἰσχύν· ἡ μὲν 12
οὖν πατρικὴ πρόσταξις οὐκ ἔχει τὸ ἰσχυρὸν οὐδὲ [δὴ] τὸ ἀναγ-
καῖον, οὐδὲ δὴ ὅλως ἡ ἑνὸς ἀνδρός, μὴ βασιλέως ὄντος ἤ τινος
τοιούτου· ὁ δὲ νόμος ἀναγκαστικὴν ἔχει δύναμιν, λόγος ὢν ἀπό
τινος φρονήσεως καὶ νοῦ. καὶ τῶν μὲν ἀνθρώπων ἐχθαίρουσι
τοὺς ἐναντιουμένους ταῖς ὁρμαῖς, κἂν ὀρθῶς αὐτὸ ὀρῶσιν· ὁ δὲ
νόμος οὐκ ἔστιν ἐπαχθὴς τάττων τὸ ἐπιεικές. ἐν μόνῃ δὲ τῇ 13
Λακεδαιμονίων πόλει ⟨ἢ⟩ μετ' ὀλίγων ὁ νομοθέτης ἐπιμέλειαν
δοκεῖ πεποιῆσθαι τροφῆς τε καὶ ἐπιτηδευμάτων· ἐν δὲ ταῖς
πλείσταις τῶν πόλεων ἐξημέληται περὶ τῶν τοιούτων, καὶ ζῇ

1180ª 4. δὴ καὶ ὅλως K^b 7. ὑπακουσομένων O^b 8. προηγμένων K^b: προηγμένοις M^b: προηγουμένως L^b: προηγουμένων (vel -οις) Γ 9. τε Γ: om. K^b L^b M^b 10. πρὸς] καὶ πρὸς L^b Γ 19. δὴ om. Γ 25. ἢ addidi

acı verici olmayacaktır. Ama genç oldukları için doğru bir 1180a
eğitim ve doğru bir kılavuz bulmak herhalde yeterli değil;
'adam' olduktan sonra bunları gözetmesi, alışkanlık haline
getirmesi de gerekir; işte bunlar için yasalara gerek var; ge-
nelde tüm yaşam için de yasalara gerek var. Çoğunluk söz-
den çok zorunluluğa, güzelden çok cezalara başeğiyor. Bu- 5
nun için kimileri, yasa koyucuların onları dinleyecek olan-
lar erdemli alışkanlıklar bakımından doğru kişiler olsunlar
diye, onları 'güzel'i gözeterek erdeme yöneltmeleri, teşvik
etmeleri gerektiğine; baş eğmeyenlere, yola gelmeyenlere
cezalar, caydırıcılar koymaları; ıslah olmayanları da hepten
ortadan kaldırmaları gerektiğine inanırlar. Güzel için yaşa- 10
yan doğru kişinin söze baş eğeceğini, hazza iştah duyan
kötü kişinin ise bir yük hayvanı gibi acı ile cezalandırılacağı-
nı düşünürler. Bunun için, hangi hazlar en çok isteniyorsa,
o hazlara karşıt olan acıların ceza olarak konması gerektiği-
ni de söylerler. İmdi dediğimiz gibi, iyi olacak insanı gü-
zelce yetiştirmek, alıştırmak gerekiyorsa; sonra da onun er- 15
demli uğraşlarla yaşaması, isteyerek ya da istemeden kötü
